8. Ὕλας ὁ Θειοδάμαντος παῖς, ἐν Μυσίᾳ ἀποσταλεὶς[1] ὑδρεύσασθαι, διὰ κάλλος ὑπὸ Νυμφῶν ἡρπάγη.[2]—Σοφοκλῆς ὁ τραγῳδοποιὸς, ῥᾶγα σταφυλῆς καταπιὼν[3] ἀπεπνίγη.—Ἥφαιςος ἐῤῥίφη[4] ὑπὸ τοῦ Διὸς ἐξ οὐρανοῦ, ὅθεν χωλὸς ἐγένετο.—Σχολαστικὸς ἰατρῷ συναντήσας,[5] ἐκρύβη·[6] τινὸς δὲ πυθομένου[7] τὴν αἰτίαν, ἔφη· Καιρὸν ἔχω[8] μὴ ἀσθενήσας, καὶ αἰσχύνομαι εἰς ὄψιν ἐλθεῖν[9] τοῦ ἰατροῦ.—Λέγεται, τὸν Κινέαν, ἐπεὶ τὴν τῶν Ῥωμαίων ἀρετὴν κατενόησε, τῷ Πύῤῥῳ εἰπεῖν, ὡς ἡ σύγκλητος αὐτῷ βασιλέων πολ-

λῶν συνέδριον φ α ν ε ί η.[10]—Συγκρινομένων τῶν τριῶν ἠπείρων πρὸς ἀλλήλας, μεγίστη μὲν φ α ν ε ί η ἂν[11] ἡ Ἀσία, εἶτα ἡ Λιβύη, τελευταῖα δὲ ἡ Εὐρώπη.

1°. ἀποστέλλω.—2°. ἁρπάζω.—3°. καταπίνω.—4°. ῥίπτω.—5°. συναντάω.—6°. κρύπτω.—7°. πυνθάνομαι.—8°. *It is a considerable time that I have not been sick.*—9°. ἔρχομαι.—10°. φαίνω.—11°. *might* (would) *appear.*

IX.

Contract Verbs.

1. *Active.*

1. Ὁ φ θ ο ν έ ω ν ἑαυτὸν ὡς ἐχθρὸν λ υ π έ ε ι.[1]—Ἀγαθοῖσιν ὁ μ ί λ ε ε.—Θάρσος σὺν λόγῳ α ἴ ν ε ε, τὸ δὲ μετα ἀλογίης[2] ὂν ἀ π ο σ τ ύ γ ε ε.—Πολλοὶ δ ο κ έ-ο ν τ ε ς ἑαυτοὺς φ ι λ έ ε ι ν, οὐκ ἀληθῶς φ ι λ έ ο υ σ ι ν.—Μηδενὶ φ θ ό ν ε ι.—Ν ό ε ι, καὶ τότε πράττε.

1°. The construction is, λυπέει ἑαυτόν.—2°. Ionic dialect for ἀλογίας· σὺν λόγῳ, *united with wisdom*, μετὰ ἀλογίης ὂν, *that which is united with folly.* All the sentences in this paragraph are from Ionic writers, and for this reason do not exhibit the contraction usual in Attic writers. Gram. § 105. Rem. 1. p. 177.

2. Ἡ Φωκίωνος γυνὴ ἐρωτηθεῖσα,[1] διὰ τί μόνη τῶν ἄλλων[2] οὐ φ ο ρ ε ῖ χρυσοῦν κόσμον, ἔφη, Ὅτι αὐτάρκης κόσμος μοί ἐστιν ἡ τοῦ ἀνδρὸς ἀρετή.—Ὁ οἶνος

τὸν ταπεινὸν μέγα φ ρ ο ν ε ῖ ν π ο ι ε ῖ,
τὸν τὰς ὀφρῦς αἴροντα συμπείθει γ ε λ ᾷ ν,
τὸν δ᾽ ἀσθενῆ τ ο λ μ ᾷ ν τι, τὸν δειλὸν θ ρ ά σ ε ῖ ν.

Ἡ συνήθεια κόρον γ ε ν ν ᾷ· ο ἰ κ ο ῦ ν τ ε ς γῆν ζ η τ ο ῦ-μ ε ν θάλασσαν, καὶ πλέοντες[3] πάλιν π ε ρ ι σ κ ο π ο ῦ-

μεν τὸν ἀγρόν.—Οἱ πλεονεκτοῦντες πολεμοῦσιν[4] ἀεὶ, τὸ ἐπιβουλεύειν καὶ φθονεῖν[5] ἔμφυτον ἔχοντες.—Καυσιανοὶ τοὺς μὲν γεννωμένους θρηνοῦσι, τοὺς δὲ τελευτήσαντας μακαρίζουσιν.

Οἴνου γὰρ εὕροις[6] ἄν τι πρακτικώτερον;
Ὁρᾷς; ὅταν πίνωσιν ἄνθρωποι, τότε
Πλουτοῦσι, διαπράττουσι, νικῶσιν δίκας,
Εὐδαιμονοῦσιν, ὠφελοῦσι τοὺς φίλους.

1°. ἐρωτάω.—2°. γυναικῶν understood.—3°. πλέοντες, not contracted. See Gram. § 105. Rem. 2. p. 177.—4°. *are always in a state of war.*—5°. The infinitive with the preceding article τὸ is used as a substantive. Gram. § 141. 5. p. 289.—6°. εὑρίσκω, *couldst thou find.*

3. Αἰσχύλος, ὡς λέγουσι, τὰς τραγῳδίας μεθύων ἐποίει.—Ὀρφεὺς ᾄδων ἐκίνει λίθους τε καὶ δένδρα.—Οἱ Σαρδῷοι τοὺς ἤδη γεγηρακότας[1] τῶν πατέρων ῥοπάλοις ἀνῄρουν.[2]—Οἱ ἄνθρωποι τὸ παλαιὸν[3] ἐν ἄντροις ᾤκουν.[4]—Τὴν Σικελίαν τὸ παλαιὸν[3] ταμεῖον τῆς Ῥώμης ἐκάλουν οἱ Ῥωμαῖοι.

1°. γηράσκω.—2°. ἀναιρέω.—3°. *anciently.* See Gram. § 125. Rem. 5. p. 257.—4°. οἰκέω.

4. Ὁ μηδὲν ἀδικῶν οὐδενὸς δεῖται[1] νόμου.—Κυβερνήτου νοσοῦντος, ὅλον συμπάσχει τὸ σκάφος.—Σχολαστικὸς ναυαγεῖν μέλλων[2] πινακίδας ᾔτει,[3] ἵνα διαθήκας γράφῃ· τοὺς δὲ οἰκέτας ὁρῶν ἀλγοῦντας διὰ τοῦ κινδύνου, ἔφη· Μὴ λυπεῖσθε, ἐλευθερῶ[4] γὰρ ὑμᾶς.—Οὐ μόνος ὁ Πλοῦτος τυφλὸς, ἀλλὰ καὶ ἡ ὁδηγοῦσα αὐτὸν Τύχη.—Τὴν Ἀχιλλέως ἀσπίδα Ὅμηρος ἐποίησε[5] φέρουσαν ὅλον τὸν οὐρανὸν, καὶ γεωργοῦντας, καὶ γαμοῦντας, καὶ δικαζομένους, καὶ πολεμοῦντας.

1°. *needs,* δέομαι.—2°. *being about.*—3°. αἰτέω.—4°. Masters in their wills often emancipated their slaves.—5°. *represented, described.* See the Iliad, Book XVIII, 478, &c.

5. Ὁ Βάκχος καὶ[1] Ληναῖος καλεῖται ἀπὸ τοῦ π α τ ῆ σ α ι τὰς σταφυλὰς ἐν ληνῷ—Ὁ Θαλῆς λέγεται πρῶτος ἀ σ τ ρ ο λ ο γ ῆ σ α ι.—Ἐν Μακεδονίᾳ οὐκ ἔθος ἦν κατακλίνεσθαί[2] τινα ἐν δείπνῳ, εἰ μή τις ἔξω λίνων ὗν ἄγριον κ ε ν τ ή σ ε ι ε ν.[3]—Ἐπίκουρος ἐρωτηθεὶς, πῶς ἄν τις π λ ο υ τ ή σ ε ι ε ν;[3] Οὐ τοῖς οὖσι[4] προςιθεὶς,[5] ἔφη, τῆς δὲ χρείας τὰ πολλὰ περιτέμνων.—Σχολαστικὸς ἰατρῷ συναντήσας, Σ υ γ χ ώ ρ η σ ο ν μοι, εἶπε, καὶ μή μοι μέμψῃ ὅτι οὐκ ἐ ν ό σ η σ α.—Μηδέποτε φ ρ ο ν ή σ ῃ ς ἐπὶ σεαυτῷ μέγα, ἀλλὰ μηδὲ κ α τ α φ ρ ο ν ή σ ῃ ς σεαυτοῦ.—Πλάτων τὴν φιλοσοφίαν θανάτου μελέτην ἐ κ ά λ ε σ ε ν.

1°. *also.*—2°. *to recline*, according to the custom, which prevailed among the ancients, of reclining on couches at meals.—3°. For this provincial form of the Optative, see Gram. § 103. Rem. III. 3. p. 156.—4°. τὰ ὄντα, from εἰμί, *those things*, or *that, which one hath.*—5°. προστίθημι.

6. Ὦ παῖ, σ ι ώ π α, πόλλ'[1] ἔχει σιγὴ καλά.—Μὴ κακοῖς ὁμίλει· θεοὺς τ ί μ α· τὰ σπουδαῖα μ ε λ έ τ α· μὴ ψεύδου.—Γ ε λ ᾷ ὁ μῶρος κἄν[2] τι μὴ γελοῖον ᾖ.[3]—Ὁ Σαλμωνεὺς ἀ ν τ ι β ρ ο ν τ ᾷ ν ἐ τ ό λ μ α τῷ Διΐ.—Καλὸν τὸ γ η ρ ᾷ ν, καὶ τὸ μὴ γ η ρ ᾷ ν καλόν.—Νικίας οὕτως ἦν φιλόπονος, ὥστε πολλάκις ἐ ρ ω τ ᾷ ν τοὺς οἰκέτας, εἰ ἠ ρ ί σ τ η κ ε ν.[4]—Ἀναξαγόρας πρὸς τὸν δ υ ς φ ο ρ ο ῦ ν τ α ὅτι ἐπὶ ξένης τ ε λ ε υ τ ᾷ, Πανταχόθεν, ἔφη, ὁμοία ἐστὶν ἡ εἰς ᾅδου[5] κατάβασις.

1°. for πολλά.—2°. for καὶ ἄν or ἐάν.—3°. *be*, εἰμί. Gram. § 140. 7. p. 284. —4°. ἀριστάω.—5°. *the place of the departed*; δῶμα understood. The phrases ἐκ ᾅδου, εἰς ᾅδου, &c. are usually found without δῶμα, which is understood.

7. Οἱ πολύποδες ἐ λ λ ο χ ῶ σ ι τοὺς ἰχθῦς τὸν τρόπον τοῦτον·[1] ὑπὸ ταῖς πέτραις κάθηνται,[2] καὶ ἑαυτοὺς εἰς τὴν ἐκείνων[3] μ ε τ α μ ο ρ φ ο ῦ σ ι χροίαν, καὶ πέτραι εἶναι δ ο κ ο ῦ σ ι ν.[4] Οἱ τοίνυν ἰχθῦς προςνέουσιν,[5] οἱ δὲ πολύποδες αὐτοὺς ἀφυλάκτους ὄντας περιβάλλουσι ταῖς

ἑαυτῶν πλεκτάναις.—Ἵππειον Ποσειδῶνα τιμῶσιν Ἕλληνες καὶ θύουσιν αὐτῷ ἐπὶ Ἰσθμῷ.—Οἱ Κόλχοι τοὺς νεκροὺς ἐν βύρσαις θάπτουσι, καὶ ἐκ τῶν δένδρων ἐξαρτῶσιν.—Ἀναξαγόραν τὸν Κλαζομένιόν φασι μὴ γελῶντά ποτε ὀφθῆναι,[6] μήτε μειδιῶντα.—Διογένης ἰδών ποτε μειράκιον ἐρυθριῶν, Θάῤῥει, ἔφη, τοιοῦτόν ἐστι τῆς ἀρετῆς τὸ χρῶμα.—Οἱ ἄνθρωποι οὐδὲ τὸν ἀέρα τοῖς ὄρνισιν εἴων[7] ἐλεύθερον.

1°. *in the following manner.*—2°. κάθημαι.—3°. that is, τῶν πετρῶν.—4°. δοκέω.—5°. See IX. 1. 2. 3°.—6°. ὄπτομαι.—7°. imperfect tense (for augment, see Gram. § 83. 2. p. 97.) from ἐάω. See Gram. § 138. 4. p. 279, at bottom.

8. Μάτρις ὁ Ἀθηναῖος, ὃν ἐβίω χρόνον,[1] οὐδὲν[2] ἐσιτεῖτο ἢ μυῤῥίνης ὀλίγον, οἴνου δὲ καὶ τῶν ἄλλων πάντων ἀπείχετο, πλὴν ὕδατος.—Ὀδυσσεὺς τὸν Κύκλωπα μεθύσαντα ἐξετύφλωσεν.—Ὅμηρος τὸν οἶνον ἀπογυιοῦν λέγει.—Βέβαιον οὐδέν ἐστιν ἐν θνητῶν βίῳ· βιοῖ γὰρ οὐδεὶς ὃν προαιρεῖται τρόπον.[3]

1°. ὃν χρόνον, *so long as.* Gram. § 131. 8. p. 266.—2°. ἄλλο understood.—3°. ὃν τρόπον, equivalent to ὅπως, *as he proposes.* Gram. § 131. 6. and Rem. 2.

2. *Middle.*

1. Μᾶλλον εὐλαβοῦ ψόγον ἢ κίνδυνον.—Παρὰ Ἀντιόχῳ τῷ μεγάλῳ προσαγορευθέντι,[1] ἐν τῷ δείπνῳ, πρὸς ὅπλα ὠρχοῦντο[2] οὐ μόνον οἱ βασιλέως φίλοι, ἀλλὰ καὶ αὐτὸς ὁ βασιλεύς.—Οἱ Ταραντῖνοι ἐβουλεύοντο ποιεῖσθαι Πύῤῥον ἡγεμόνα, καὶ καλεῖν ἐπὶ τὸν πόλεμον.—Ἐμπεδοκλῆς τὴν βασιλείαν αὐτῷ διδομένην παρῃτήσατο,[3] τὴν λιτότητα δηλονότι πλέον ἀγαπήσας.—Φίλους μὴ ταχὺ κτῶ.—Λάμπις, ὁ ναύκληρος, ἐρωτηθεὶς, πῶς ἐκτήσατο τὸν πλοῦτον; Οὐ χαλεπῶς,

ἔφη, τὸν μέγαν, τὸν δὲ βραχὺν ἐπιπόνως.—Οὕτω π ε ι-ρ ῶ ζῆν, ὡς[4] καὶ ὀλίγον καὶ πολὺν χρόνον βιωσόμενος.—Ἡδέως μὲν ἔχε[5] πρὸς ἅπαντας, χ ρ ῶ δὲ τοῖς βελτίστοις.—Εἰ σὺ ἐ θ ε ά σ ω ἅπερ ἐγὼ,[6] εὖ οἶδα ὅτι οὐκ ἂν ἐ π α ύ σ ω γελῶν.[7]—Πάντων ἐστιν ἥδιστον καὶ λυσιτελέστατον, πιστὰς ἅμα καὶ χρησίμους φίλους κ τ ᾶ σ θ α ι ταῖς εὐεργεσίαις.

1°. *surnamed the Great.*—2°. ὀρχέομαι.—3°. παραιτέομαι.—4°. *ut....victurus.*—5°. Gram. § 151. p. 315. ἔχειν.—6°. ἐθεασάμην understood.—7°. Gram. § 145. Rem. 3. p. 297.

3. *Passive.*

1. Οἱ μὴ κολάζοντες τοὺς κακοὺς βούλονται ἀ δ ι-κ ε ῖ σ θ α ι τοὺς ἀγαθούς.—Οἱ καλῶς ἀγωνισάμενοι τῶν Λακεδαιμονίων καὶ ἀποθανόντες θαλλοῖς ἀ ν ε δ ο ῦ ν-τ ο.[1]—Κλεάνθης δ ι ε β ο ή θ η ἐπὶ φιλοπονίᾳ· πένης γὰρ ὢν, νύκτωρ μὲν ἐν τοῖς κήποις ἤντλει,[2] μεθ' ἡμέραν[3] δὲ ἐν τοῖς λόγοις ἐγυμνάζετο.—Κόλαζε τὰ πάθη, ἵνα μὴ ὑπ' αὐτῶν τ ι μ ω ρ ῇ.—Ἱππόλυτος ὑπὸ τῆς Ἀρτέμιδος ἐ τ ι μ ᾶ τ ο καὶ ἐν λόγοις ἦν.—Ὅταν αἱ μέλισσαι σκιρτήσωσιν ἢ π λ α ν η θ ῶ σ ι ν, οἱ σμηνουργοὶ κροτοῦσι κρότον[4] τινὰ ἐμμελῆ, οὗ ἀκούουσαι αἱ μέλισσαι ὑποστρέφουσιν.—Ἀγάθων ἔφη, τὸν ἄρχοντα τριῶν δεῖν μ ε μ ν ῆ σ θ α ι· πρῶτον μὲν, ὅτι ἀνθρώπων ἄρχει· δεύτερον, ὅτι κατὰ νόμους ἄρχει· τρίτον, ὅτι οὐκ ἀεὶ ἄρχει.—Παρ' Ἰνδοῖς ὁ τεχνίτου πηρώσας χεῖρα ἢ ὀφθαλμὸν, θανάτῳ ζ η μ ι ο ῦ τ α ι.—Φινεὺς ὁ μάντις τὰς ὄψεις π ε π η ρ ω μ έ ν ο ς ἦν· π η ρ ω θ ῆ ν α ι δέ φασιν αὐτὸν ὑπὸ θεῶν, ὅτι προὔλεγε[5] τοῖς ἀνθρώποις τὰ μέλλοντα.—Πλάτων πρός τινα τῶν παίδων, Μ ε μ α-σ τ ί γ ω σ ο[6] ἂν, ἔφη, εἰ μὴ ὠργιζόμην.

1°. ἀναδέω.—2°. ἀντλέω.—3°. *by day.*—4°. Gram. § 131. 3. p. 264.—5°. for προέλεγε.—6°. for ἐμεμαστίγωσο. Gram. § 82. Rem. 4. p. 96.

X.

Verbs in μι.

1. *Active.*

1. Ζεὺς πάντα τίθησιν, ὅπη θέλει.—Τί[1] τὸν νεκρὸν ὁ κωκυτὸς ὀνίνησι;—Λέοντα νοσοῦντα οὐδὲν ἄλλο ὀνίνησι φάρμακον, εἰ μὴ[2] βρωθεὶς[3] πίθηκος.—Χίλων ἐρωτηθεὶς, τί χαλεπώτατον,[4] τὸ γιγνώσκειν ἑαυτὸν, ἔφη· πολλὰ γὰρ ὑπὸ φιλαυτίας ἕκαστον ἑαυτῷ προςτιθέναι μάτην.[5]—Σόλων τοῖς ἐν Πρυτανείῳ σιτουμένοις μάζαν παρέχειν κελεύει, ἄρτον δὲ ταῖς ἑορταῖς προςπαρατιθέναι.

1°. Gram. § 131. 7. p. 265.—2°. *except.* Gram. § 149. 2. b). p. 206.—3°. βιβρώσκω.—4°. ἐστὶ understood. The construction is (ἔφη) γὰρ ὑπὸ φιλαυτίας ἕκαστον προςτιθέναι ἑαυτῷ πολλὰ μάτην.

2. Τοῦτον τὸν νόμον ὁ θεὸς τέθεικεν, Εἴ τι ἀγαθὸν θέλεις, παρὰ σεαυτοῦ λαβέ.[1]—Οἱ παλαιοὶ τοῖς ἀποθανοῦσιν[2] ὀβολὸν εἰς τὸ στόμα κατέθηκαν.—Ῥᾴδιον ἐξ ἀγαθοῦ θεῖναι κακὸν, ἢ ἐκ κακοῦ ἐσθλόν.—Ἀθηνᾶ ἐν μέσῃ τῇ ἀσπίδι τὴν τῆς Γοργόνος κεφαλὴν ἀνέθηκεν.—Νόμος ἐστὶ Θηβαϊκὸς, ὅτι οὐκ ἔξεστιν ἀνδρὶ Θηβαίῳ ἐκθεῖναι παιδίον.—Φασὶ τοὺς Φοίνικας οὐκ ἐξ ἀρχῆς εὑρεῖν[3] τὰ γράμματα, ἀλλὰ τοὺς τύπους[4] μεταθεῖναι μόνον.—Ἀντίγονος, ὁ βασιλεὺς, Διόνυσον πάντα[5] ἐμιμεῖτο, κισσὸν περιτιθεὶς τῇ κεφαλῇ ἀντὶ διαδήματος, καὶ θύρσον ἀντὶ σκήπτρου φέρων.—Λυκοῦργον, τὸν θέντα Λακεδαιμονίοις νόμους, μάλιστα θαυμάζω καὶ σοφώτατον εἶναι ἡγοῦμαι.

1°. λαμβάνω.—2°. ἀποθνήσκω.—3°. εὑρίσκω.—4°. αὐτῶν understood: *their forms.*—5°. *in all things.* Gram. § 131. 6. p. 265.

3. Εἰ ἀηδὼν ἤ μ η ν,[1] ἐποίευν ἂν τὰ[2] τῆς ἀηδόνος· εἰ κύκνος, τὰ[2] τοῦ κύκνου· νῦν δὲ λογικός ε ἰ μ ι, ὑμνεῖν με δεῖ τὸν Θεόν· τοῦτό μου τὸ ἔργον ἐ σ τ ί ν.—Οὐκ ἀγαθὸν πολυκοιρανίη,[3] εἷς κοίρανος ἔ σ τ ω.—Ἐὰν ᾖς φιλομαθὴς, ἔ σ ῃ πολυμαθής.—Οἱ Λυσιτανοὶ παιᾶνας ᾄδυσιν, ὅταν ἐν μάχῃ ἐ π ί ω σ ι[4] τοῖς ἀντιτεταγμένοις.[5]—Εὔκολον ἔφασκεν ὁ Βίων τὴν εἰς ᾅδου[6] ὁδόν· καταμύοντας γὰρ αὐτὴν ἰ έ ν α ι.—Μαρίου μὲν τὸν πατέρα οὐκ ἴ σ μ ε ν,[7] αὐτὸν δὲ θαυμάζομεν διὰ τὰ ἔργα.

1°. Attic for ἦν.—2°. ἔργα understood.—3°. Ionic for πολυκοιρανία. Gram. § 26. 6. p. 28.—4°. ἔπειμι.—5°. ἀντιτάσσω.—6°. See IX. 1. 6. 5°.—7°. Gram. § 109. III. Remark, p. 202.

4. Ὁ Τάνταλος ἐν τῇ λίμνῃ αὖος ἕ σ τ η κ ε ν.—Τριπτολέμῳ μὲν ἱερὰ καὶ βωμοὺς ἀ ν έ σ τ η σ α ν,[1] ὅτι τὰς ἡμέρους τροφὰς ἡμῖν ἔδωκεν·[2] τῷ δὲ τὴν ἀλήθειαν εὑρόντι[3] τίς ὑμῶν βωμὸν ἱδρύσατο;—Ἀριστῶντι[4] Διογένει ἐν ἀγορᾷ οἱ π ε ρ ι ε σ τ ῶ τ ε ς συνεχὲς ἔλεγον· Κύον, κύον· ὁ δὲ, Ὑμεῖς, εἶπεν, ἐ σ τ ὲ κύνες, οἵ με ἀριστῶντα π ε ρ ι ε σ τ ή κ α τ ε.—Οὐδὲ[5] τὸν ἀέρα οἱ ἄνθρωποι τοῖς ὄρνισιν εἴων[6] ἐλεύθερον, παγίδας καὶ νεφέλας ἱ σ τ ά ν τ ε ς.—Τὸν Κρόνον λέγυσι τὺς καθ᾽ ἑαυτὸν ἀνθρώπυς[7] ἐξ ἀγρίας διαίτης εἰς βίον ἥμερον μ ε τ α σ τ ῆ σ α ι.[8]

1°. ἄνθρωποι understood.—2°. δίδωμι.—3°. εὑρίσκω.—4°. ἀριστάω.—5°. *not even.*—6°. See IX. 1. 7. 7°.—7°. *the men of his time.*—8°. The construction is, λέγουσι τὸν Κρόνον μεταστῆσαι τοὺς καθ᾽ ἑαυτὸν ἀνθρώπους. For the place of the article, see Gram. § 125. 1. p. 255.

5. Οὐδὲν τῶν μὴ καλῶν δ ί δ ω σ ι Θεός· ἀλλ᾽ ἐστὶ ταῦτα δωρεὰ τύχης ἀλόγου.—Ἁπλῆν Ὅμηρος θεοῖς δίαιταν ἀ π ο δ ί δ ω σ ι ν.—Δ ί δ ο υ[1] παῤῥησίαν τοῖς εὖ φρονοῦσιν.—Τένθης τις δακτυλήθρας ἔχων ἤσθιε τὸ ὄψον, ἵν᾽[2] ὡς θερμότατον[3] ἀ ν α δ ι δ ο ί η τῇ γλώττῃ.—

Ἡ φύσις τὰ δάκρυα ἔ δ ω κ ε ν ἡμῖν παραμυθίαν ἐν ταῖς τύχαις.—Προμηθεὺς, Ἰαπέτου υἱὸς, τὸ πῦρ τοῖς ἀνθρώποις ἔ δ ω κ ε ν.—Οἱ Φοίνικες τοῖς Ἕλλησι τὰ γράμματα π α ρ α δ ε δ ώ κ α σ ι ν.—Φασὶν Εὐριπίδην Σωκράτη, ἀ π ο δ ό ν τ α τι Ἡρακλείτου σύγγραμμα, ἔρεσθαι, Τί δοκεῖ; τὸν δὲ φάναι, Ἃ μὲν σ υ ν ῆ κ α,[4] γενναῖα, οἶμαι δὲ καὶ ἃ μὴ σ υ ν ῆ κ α.[5]

1°. *allow.*—2°. for ἵνα.—3°. *as hot as possible.* Gram. § 150. 1. 3). p. 307. —4°. συνίημι.—5°. γενναῖα εἶναι understood.

6. Ὁ οἶνος μέτριος μὲν ληφθεὶς[1] ῥ ώ ν ν υ σ ι, πλείων δὲ π α ρ ί η σ ι ν.—Ἡ πλαστικὴ[2] δ ε ί κ ν υ σ ι τὰ εἴδη τῶν ἀνθρώπων, καὶ ἐνίοτε καὶ τῶν θηρῶν.—Ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔ φ υ.[3]—Οὐδὲν θαλάσσης[4] ἀπιςότερον· πλοῦτον γὰρ δ ι δ ο ῦ σ α, αὐτὸν πάλιν ἀφαιρεῖται, καὶ μετ᾽ αὐτοῦ ἀφαιρεῖται τὰς ψυχάς· καί τις[5] ἀναχθεὶς μετὰ πολλῶν χρημάτων, ἢ σ υ γ κ α τ έ δ υ τοῖς χρήμασιν[6] ἢ ἀπεσώθη γυμνός.—Ἡ σαλαμάνδρα, ὥς φασι, διὰ τοῦ πυρὸς βαδίζουσα κ α τ α σ β έ ν ν υ σ ι τὸ πῦρ.

1°. λαμβάνω.—2°. τέχνη understood.—3°. equivalent to ἐστί—4°. Gram. § 132. 4. e). p. 269.—5°. *many a one.*—6°. for κατέδυ σὺν τοῖς χρήμασιν.

2. *Middle.*

1. Ὅτε εἷλε[1] τὴν Θηβαίων πόλιν Ἀλέξανδρος ἀ π έ δ ο τ ο[2] τοὺς ἐλευθέρους πάντας.—Ἡρακλεῖ ἡ ἀρετὴ τὴν προσηγορίαν ἔ θ ε τ ο· Ἡρακλῆς γὰρ προσηγορεύθη, ὅτι δι᾽ Ἥραν κλέος ἔσχεν.[3]—Ὁ νόμος λέγει· Ὃ μὴ κ α τ έ θ ο υ, μὴ λάμβανε.—Ξενοφῶντι θύοντι ἧκέ τις ἐκ Μαντινείας ἄγγελος, λέγων, τὸν υἱὸν αὐτοῦ, τὸν Γρύλλον, τεθνάναι·[4] κἀκεῖνος[5] ἀ π έ θ ε τ ο μὲν τὸν στέφανον, διετέλει δὲ θύων· ἐπεὶ δὲ ὁ ἄγγελος προσέθηκε καὶ ἐκεῖνο, ὅτι νικῶν τέθνηκε, πάλιν ὁ Ξενοφῶν ἐ π έ θ ε τ ο

τὸν στέφανον.—Ἡρακλῆς χειρωσάμενος τὸν λέοντα,[6] τὴν μὲν δορὰν ἠμφιέσατο,[7] τῷ χάσματι δὲ ἐχρήσατο κόρυθι.[8]—Οἱ Ἀθηναῖοι τὸν Πειραιᾶ ἐμπόριον ἐν μέσῳ τῆς Ἑλλάδος κατεστήσαντο.—Κακὸν οὐδὲν φύεται ἐν ἀνδρὶ, θεμέλια[9] θεμένῳ τοῦ βίου σωφροσύνην καὶ ἐγκράτειαν.

1°. αἱρέω.—2°. ἀποδίδωμι.—3°. See Gram. § 114. ἔχω. p. 218.—4°. for τεθνηκέναι. Gram. § 110. Rem. 4. p. 203.—5°. καὶ ἐκεῖνος.—6°. the Nemean lion. —7°. ἀμφιέννυμι. Gram. § 86. Rem. 1. p. 100. and § 108. III. under ἕννυμι. p. 198.—8°. *as a helmet.*—9°. *as a foundation.*

2. *Ἀρετὴ, κἂν[1] θάνῃ τις, οὐκ ἀπόλλυται.—Ἐν Τήνῳ κρήνη ἐϛὶν, ἧς τῷ ὕδατι[2] οἶνος οὐ μίγνυται.—Ὅσον ἐν πολέμῳ σίδηρος δύναται, τοσοῦτον ἐν πολιτείαις ἰσχύει λόγος.—Οἱ Ἀθηναῖοι ἐψηφίσαντο, Αἰγινητῶν ἑκάστῳ τὸν μέγαν ἀποκόψαι τῆς χειρὸς δάκτυλον τῆς δεξιᾶς, ἵνα δόρυ μὲν βαστάζειν μὴ δύνωνται, κώπην δὲ ἐλαύνειν δύνωνται.—Μέγα κακὸν τὸ μὴ δύνασθαι φέρειν κακόν.—Σχολαϛικὸς οἰκίαν πριάμενος, τῆς θυρίδος προκύψας, ἠρώτα τοὺς παριόντας,[3] εἰ πρέπει αὐτῷ ἡ οἰκία.—Τὰ Τέμπη χωρός ἐϛι κείμενος μεταξὺ τοῦ Ὀλύμπου καὶ τῆς Ὄσσης.*

1°. καὶ ἐάν.—2°. *with whose water.*—3°. πάρειμι.

3. *Passive.*

1. *Ἑωράκαμεν[1] ἀνθρώπȣς οἳ καὶ κυνῶν θανάτῳ καὶ ἵππων αἰσχρῶς ὑπὸ λύπης διετέθησαν.—Δάφνιν τὸν βούκολον λέγουσι τεχθέντα[2] ἐκτεθῆναι ἐν δάφνῃ, ὅθεν καὶ τὸ ὄνομα ἔλαβεν.—Οἱ ἑστιῶντες τὸν Ἀλέξανδρον τὸν Φιλίππȣ[3] τῶν φίλων,[4] τὸ μέλλον παρατεθήσεσθαι[5] τῶν τραγημάτων περιεχρύσȣν.—Τοῦ Καράνȣ ἐν Μακεδονίᾳ γάμους ἑστιῶντος,[6] τοῖς συγκεκλημένοις*

εὐθέως ἐ δ ό θ η σ α ν φιάλαι ἀργυραῖ, ἑκάστῳ μία, δωρεά.—Ἡρακλῆς τὸν Ἐρυμάνθιον κάπρον διώξας μετὰ κραυγῆς εἰς χιόνα πολλὴν, π α ρ ε ι μ έ ν ο ν[7] ἐνεβρόχισεν.

1°. ὁράω. See Gram. § 83. Rem. 8. p. 98.—2°. τίκτω.—3°. υἱὸν understood. —4°. to be rendered as if the original stood as follows, οἱ φίλοι Ἀλεξάνδρου τοῦ Φιλίππου, ἑστιῶντες αὐτὸν, &c.—5°. *what was to be set before him.*—6°. *Caranus, celebrating nuptials.*—7°. *exhausted*, from παρίημι.

2. Πλάτων πρὸς Ἀρίστιππον εἶπε· Σοὶ μόνῳ δ έ δ ο τ α ι καὶ χλαμύδα εὖ φορεῖν καὶ ῥάκος[1].—Πυθαγόρας ἔλεγε, δύο ταῦτα ἐκ τῶν θεῶν τοῖς ἀνθρώποις δ ε δ ό σ θ α ι κάλλιστα, τό τε ἀληθεύειν καὶ τὸ εὐεργετεῖν.—Ταῖς Μούσαις λέγουσι παρὰ Διὸς τὴν γραμμάτων εὕρεσιν δ ο θ ῆ ν α ι.—Ὁ οἶνος εἰς τὴν ἰατρικὴν χρησιμώτατος· πολλάκις γὰρ τοῖς ποτοῖς φαρμάκοις κ ε ρ ά ν ν υ τ α ι.—Νεὼς ἐν Ῥώμῃ δ ε ί κ ν υ τ α ι, οὐ πρόσω τῆς ἀγορᾶς, ἐν ᾧ αἱ εἰκόνες τῶν Τρωϊκῶν θεῶν[2] κεῖνται.

1. Aristippus knew how to conduct himself in every station of life: χλαμὺς is here used as the garb of wealth, ῥάκος as the clothing of a beggar.—2°. sacred images, which Æneas saved from the conflagration of Troy, and brought to Rome, where they were preserved in the temple of Vesta.

XI.

Some Irregular Verbs.

1. Κρεῖττον εἰς κόρακας ἢ εἰς κόλακας ἐ μ π ε σ ε ῖ ν·[1] οἱ μὲν γὰρ νεκροὺς, οἱ δὲ ζῶντας ἐσθίουσιν.—Ἀπέκειρεν ἡμῶν ἡ χάλαζα βαρέως ἐ μ π ε σ ο ῦ σ α τὰ λήϊα, καὶ λιμοῦ φάρμακον οὐδέν.—Εἰπόντος τινὸς τῶν στρατιωτῶν πρὸς Πελοπίδαν, Ἐ μ π ε π τ ώ κ α μ ε ν[1] εἰς τοὺς πολεμίους, Τί μᾶλλον,[2] εἶπεν, ἢ εἰς ἡμᾶς ἐκεῖνοι;—

Νῖνος Σεμίραμιν ἔ γ η μ ε,[3] τὴν ἐπιφανεςάτην ἁπασῶν τῶν γυναικῶν, ὧν[4] π α ρ ε ι λ ή φ α μ ε ν.[5]—Ὁ Κάτων φησὶν, αὐτὸς πλείονας ε ἰ λ η φ έ ν α ι πόλεις, ὧν[6] διήγαγεν ἡμερῶν ἐν Ἰϐηρίᾳ—Πολὺς ὁ χειμών· πάντα ἡ χιὼν κ α τ ε ί λ η φ ε, καὶ λευκανθίζουσιν οὐχ οἱ λόφοι μόνον, ἀλλὰ καὶ τὰ κοῖλα τῆς γῆς.—Ὦ δαῖμον, ὅς με ε ἴ λ η χ α ς,[7] ὡς πονηρὸς εἶ, καὶ λυπεῖς,[8] ἀεὶ τῇ πενίᾳ συνδέων.

1°. ἐμπίπτω.—2°. ἡμεῖς εἰς αὐτοὺς understood.—3°. γαμῶ.—4°. *of whom.*—5°. παραλαμϐάνω.—6°. *than he passed days;* instead of τῶν ἡμερῶν ἃς (ὧν) διήγαγε· by the rule of *Attraction.* See Gram. § 144. 3. p. 293.—7°. λαγχάνω, *to which I have fallen,* conceiving men to be assigned, *as by lot*, to the minister of fate.—8°. ἐμὲ understood.

2. Εἰς τοῦτό τινες ἀνοίας[1] ἐ λ η λ ύ θ α σ ι ν,[2] ὥσθ' ὑ π ε ι λ ή φ α σ ι, τὴν μὲν ἀδικίαν ἐπονείδιςον μὲν εἶναι, κερδαλέαν δὲ, τὴν δὲ δικαιοσύνην, εὐδόκιμον μὲν, ἀλυσιτελῆ δέ.—Ἐὰν τὰ π α ρ ε λ η λ υ θ ό τ α μνημονεύῃς,[3] ἀμείνων καὶ περὶ τῶν μελλόντων βουλεύσῃ.—Μαρσύας ε ὑ ρ ὼ ν αὐλοὺς, οὓς ἔῤῥιψεν Ἀθηνᾶ, ἦ λ θ ε ν εἰς ἔριν περὶ μουσικῆς Ἀπόλλωνι.—Σχολαστικὸς βουλόμενος περάσαι ποταμὸν, ἀ ν ῆ λ θ ε ν ἐς τὸ πλοῖον ἔφιππος· πυθομένου δέ τινος τὴν αἰτίαν, ἔφη, σπȢδάζειν.[4]—Γαλατῶν ςρατιὰ Μακεδονίαν καὶ Θεσσαλίαν ἐ π έ δ ρ α μ ε,[5] καὶ πολλὰ λεηλατοῦντες[6] εἰς τὴν Ἀσίαν δ ι έ ϐ η σ α ν.[7]

1°. εἰς τοῦτο like the latin *eò*, *to such a degree;* the construction is εἰς τοῦτο ἀνοίας.—2°. ἔρχομαι.—3°. See Gram. § 140. 7. p. 284.—4°. *that he was in a hurry.*—5°. ἐπιτρέχω.—6°. The participle agrees with οἱ στρατιῶται understood, which is contained in the collective στρατιά.—7°. διαϐαίνω.

3. Μακαριώτατον ἐν ανθρώποις εὐτυχοῦντα ἀ π ο θ α ν ε ῖ ν[1].—Ὁ Ἑλλήσποντος ἐ κ λ ή θ η[2] ἀπὸ τῆς Ἕλλης ἐν αὐτῷ θ α ν ο ύ σ η ς.—Περικλῆς τȢς ἐν Σάμῳ τ ε θ ν η κ ό τ α ς ἐγκωμιάζων ἐπὶ τοῦ βήματος, ἀθανάτȢς ἔλεγε γεγονέναι, καθάπερ τȢς θεȢς.—Τ ε θ ν α ν α ι[3] πολὺ κρεῖττον ἢ δι' ἀκρασίαν τὴν ψυχὴν ἀμαυρῶσαι.—Ἡρα-

κλῆς τ υ χ ὼ ν[4] ἀθανασίας καὶ διαλλαγεὶς Ἥρᾳ, τὴν ἐκείνης θυγατέρα Ἥβην ἔ γ η μ ε ν.—Τὸ κάλλος ἢ χρόνος ἀ ν ή λ ω σ ε ν,[5] ἢ νόσος ἐμάρανεν·[6] ἡ δὲ τῆς ἀρετῆς κτῆσις συγγηράσκει.—Τίς οὐκ οἶ δ ε ν,[7] ο ἷ α ε π α θ ε ν[8] ὁ Προμηθεὺς, διότι καθ' ὑπερβολὴν φιλάνθρωπος ἦν ;—Δίκαια δράσας συμμάχου τ ε ύ ξ ῃ[4] θεοῦ.

1°. ἀποθνήσκω· for εἴ τις εὐτυχῶν ἀπέθανεν.—2°. καλέω.—3°. the same as τεθνηκέναι. Gram. § 110. Rem. 4. p. 203.—4°. τυγχάνω.—5°. ἀναλίσκω. The aorists here express habitual action, contrary to the more general usage of the Greek. See Gram. § 138. 4. p. 279.—6°. μαραίνω.-7°. (εἴδω) οἶδα.—8°. πασχω.

4. *Πολλὰ λυπηρὰ ὁ βίος ἐν ἑαυτῷ φ έ ρ ε ι.—Ἀνὴρ σοφὸς τὰς ἐν βίῳ συμφορὰς ῥᾷον ο ἴ σ ε ι[1] τῶν ἄλλων.[2] —Μέγιστον μὲν καὶ θεοῦ[3] μόνον τὸ ἀναμάρτητον·[4] γενναίων δὲ,[3] μετὰ τὸ ἁμάρτημα ὡς τάχιστα ἀ ν ε ν ε γ κ ε ῖ ν.[5]—Θάμυρις κάλλει δ ι ε ν ε γ κ ὼ ν καὶ κιθαρῳδια, περὶ μουσικῆς ἤρισε Μούσαις.—Ὅτε οἱ Γαλάται κ α τ έ δ ρ α μ ο ν[6] τὴν Ἰωνίαν καὶ τὰς πόλεις ἐπόρθουν, ἐν Μιλήτῳ Θεσμοφορίων ὄντων, καὶ συνηθροισμένων γυναικῶν ἐν τῷ ἱερῷ, ὃ βραχὺ τῆς πὸλεως ἀπέχει, μέρος τι τῶν βαρβάρων δ ι ῆ λ θ ε ν εἰς τὴν Μιλησίαν, καὶ ἐξαπιναίως ἐ π ι δ ρ α μ ὸ ν ε ἷ λ ε[7] τὰς γυναῖκας.—Ἡ Σφὶγξ, Οἰδίποδος τὸ αὐτῆς αἴνιγμα ε ὑ ρ ό ν τ ο ς,[8] ἐκ σκοπέλου ἑαυτὴν ῥίψασα ἀ ν ε ῖ λ ε ν.—Ἀδμήτου μέλλοντος[9] θ α ν ε ῖ ν, Ἄλκηστις ε ἵ λ ε τ ο ὑπὲρ αὐτοῦ θάνατον.—Λέγεται ὅτι ὁ Λερναῖος ὄφις πεντήκοντα κεφαλὰς εἶχε, σῶμα δὲ ἕν· καὶ ὁπότε[10] Ἡρακλῆς ἀ φ έ λ ο ι τ ο κεφαλὴν μίαν, δύο ἀνεφύοντο.*

1°. φέρω.—2°. that is, ἢ οἱ μὴ σοφοὶ ὄντες.—3°. ἔργον understood. Gram. § 138. Rem. 4. p. 270.—4°. that is, τὸ μὴ ἁμαρτάνειν.—5°. ἀναφέρω.—6°. κατατρέχω.—7°. αἱρέω.—8°. εὑρίσκω.—9°. μέλλω.—10°. *as often as.*

5. *Γλαῦκος, ὁ Σισύφου υἱὸς, ὑφ' ἵππων κ α τ ε β ρ ώ θ η.[1]—Φασὶν Ἀκταίωνα μὲν ὑπὸ τῶν ἰδίων κυνῶν κ α τ α β ρ ω θ ῆ ν α ι·[1] πολλοὶ δὲ ὑπὸ κολάκων καὶ παρα-*

σίτων καταβιβρώσκονται.[1]—Κύκνος ὑπ' Ἀχιλλέως πληγεὶς λίθῳ οὐκ ἐτρώθη·[2] ὅθεν ἄτρωτος γεγονέναι[3] λέγεται.—Μίνως, ὁ Κρήτης βασιλεὺς, Δαίδαλον καὶ Ἴκαρον καθεῖρξε· Δαίδαλος δὲ ποιήσας πτερύγας προσθετὰς ἐξέπτη[4] μετὰ τοῦ Ἰκάρου. Ὁ δὲ Ἴκαρος τελευτᾷ ἐν τῷ πελάγει· ὅθεν ἀπ' ἐκείνου Ἰκάριον πέλαγος ἐκλήθη.[5]—Φρίξος μαθὼν ὅτι ὁ πατὴρ αὐτὸν μέλλει θύειν,[6] λαβὼν[7] τὴν ἀδελφὴν αὐτοῦ καὶ ἀναβὰς[8] σὺν αὐτῇ ἐπὶ κριὸν, διὰ τῆς θαλάσσης ἀφίκετο εἰς τὸν Εὔξεινον πόντον.

1°. καταβιβρώσκω.—2°. τιτρώσκω.—3°. γίγνομαι.—4°. ἐξίπταμαι.—5°. καλέω.—6°. *immolatarus erat.*—7°. λαμβάνω.—8°. ἀναβαίνω.

6. Μηδέποτε μηδὲν αἰσχρὸν[1] ποιήσας ἔλπιζε λήσειν· καὶ γὰρ ἂν[2] τὺς ἄλλυς λάθῃς, σαυτῷ γε συνειδήσεις.—Πύῤῥος ἐπεὶ συμβαλὼν τοῖς Ῥωμαίοις δὶς ἐνίκησε, πολλὺς τῶν φίλων καὶ ἡγεμόνων ἀπολέσας, Ἂν[2] ἔτι μίαν, ἔφη, μάχην Ῥωμαίους νικήσωμεν,[3] ἀπολώλαμεν.[4]—Θεμιστοκλῆς τῆς Ἑλλάδος ἐκπεσὼν, πλούσιος γενόμενος, πρὸς τοὺς παῖδας εἶπεν· Ὦ παῖδες, ἀπωλόμεθα ἂν, εἰ μὴ ἀπολώλειμεν.

1°. for *αἰσχρόν τι.* See Gram. § 149. 6. p. 307.—2°. for *ἐάν.* See Gram. § 140. 7. p. 284.—3°. *μάχην νικᾶν τινα, to conquer one in a battle.*—4°. *ἀπόλλυμι.*

7. Οὐδεὶς ἀνθρώπων ἠξιώθη τοῖς θεοῖς ὁμιλεῖν, πλὴν ὅσοι μετεσχήκασι[1] κάλλους. Πέλοψ γὰρ τούτου χάριν ἀμβροσίας μετέσχε,[1] καὶ Γανυμήδης, καὶ ἄλλοι τινές.—Ὁ Θησεὺς τὴν Ἑλένην ἥρπασε, Πειρίθυν παραλαβὼν κοινωνοῦντα,[2] καὶ μεγίστην ἔσχεν αὐτῷ χάριν τῆς συμμαχίας ταύτης. Ἡ γὰρ Ἑλένη πλεῖστον μέρος μετέσχηκε[1] κάλλους.—Δαναὸς ἐξ Αἰγύπτου φυγὼν Ἄργος κατέσχεν.

1°. μετέχω.—2°. that is, κοινωνόν.

XII.

Miscellaneous Examples of the Verbs.

1. *Οἱ Πέρσαι θύουσι πυρὶ, καὶ ἐπιφοροῦντες αὐτῷ τὴν πυρὸς τροφὴν, λέγουσι· Πῦρ, δέσποτα, ἔσθιε.—Οἱ Αἰγύπτιοι θηρία τιμῶσιν, καὶ οἱ αὐτῶν θεοὶ ἀποθνήσκουσι, καὶ πενθοῦνται, καὶ δείκνυνται τάφοι θεῶν.—Τοῖς μὲν διὰ τοῦ ἡλίου πορευομένοις ἕπεται κατ' ἀνάγκην σκιά· τοῖς δὲ διὰ τῆς δόξης βαδίζουσιν ἀκολουθεῖ φθόνος.—Τὸ ἐσθίειν πολλὰ τοὺς μὲν λογισμοὺς ἐξαιρεῖ, καὶ τὰς ψυχὰς ποιεῖται βραδυτέρας, ὀργῆς δὲ καὶ σκληρότητος ἐμπίπλησιν.*[1]*—Ὁ Ἀθάμας, δυναστεύων Βοιωτίας,*[2] *ἐκ Νεφέλης τεκνοῖ μὲν παῖδα Φρίξον, θυγατέρα δὲ Ἕλλην· αὖθις δὲ Ἰνὼ γαμεῖ, ἐξ ἧς αὐτῷ Λέαρχος καὶ Μελικέρτης ἐγένοντο.*

1°. See Gram. § 132. 4. b). p. 268.—2° *ib.* c). p. 269.

2. *Ἀριστοφάνης λέγει περὶ τοῦ Περικλέους, ὅτι ἤστραπτεν, ἐβρόντα, ξυνεκύκα*[1] *τὴν Ἑλλάδα.—Ἐν τῷ Πελοποννησιακῷ πολέμῳ εἷς ἀνὴρ, ὁ Περικλῆς, ἐξώρθου τὴν πόλιν, καὶ ἀνίστη, καὶ ἀντετάττετο καὶ τῷ λοιμῷ καὶ τῷ πολέμῳ.*

1°. ξυγκυκάω.

3. *Ἀλέξανδρος ὅτε ἐνίκησε Δαρεῖον ἀπέστειλε*[1] *τοῖς Ἕλλησι θεὸν αὐτὸν ψηφίσασθαι.—Ἥρα δύο δράκοντας ἀπέστειλεν, ἀναλώσοντας*[2] *Ἡρακλέα, ἔτι βρέφος ὄντα. Ὁ δὲ παῖς οὐ καταπλαγεὶς ἑκατέρᾳ τῶν χειρῶν τὸν αὐχένα σφίγξας, ἀπέπνιξε τοὺς*

δράκοντας.—Κόνων τῇ περὶ Κνίδον ναυμαχίᾳ νικήσας Λακεδαιμονίους ἑκατόμβην θύσας, πάντας Ἀθηναίους εἱστίασε.[3]—Τίς λοιμὸς ἢ σεισμὸς τοσαύτας πόλεις ἐκένωσεν ἢ τοσαῦτα γένη ἀνθρώπων ἠφάνισεν[4] ἢ κατέδυσεν, ὅσα[5] ἡ τῶν βασιλέων φιλοτιμία;—Ἀθηνᾶ Κάδμῳ βασιλείαν κατεσκεύασε· Ζεὺς δὲ ἔδωκεν αὐτῷ γυναῖκα Ἁρμονίαν, καὶ πάντες θεοὶ, καταλιπόντες τὸν οὐρανὸν, ἐν τῇ Καδμείᾳ[6] τὸν γάμον εὐωχούμενοι ἀνύμνησαν.—Ὁ Ξέρξης τῷ στρατοπέδῳ ἔπλευσε[7] μὲν διὰ τῆς ἠπείρου, ἐπέζευσε δὲ διὰ τῆς θαλάσσης, τὸν μὲν Ἑλλήσποντον ζεύξας, τὸν δὲ Ἄθω διορύξας.

1°. ἀποστέλλω.—2°. ἀναλίσκω. Gram. § 145. 3. p. 295.—3°. ἑστιάω.—4°. ἀφανίζω.—5°. *as*.—6°. the name of the citadel of Thebes.—7°. πλέω.

4. Ὁ Ζεὺς τοῖς θεοῖς ἀπειλήσας Ἢν ἐθελήσω, ἔφη, ἐγὼ μὲν ἐκ τοῦ οὐρανοῦ σειρὰν καθήσω,[1] ὑμεῖς δ', ἢν ἀποκρεμασθέντες βιάζησθέ με, μάτην πονήσετε· οὐ γὰρ δὴ καθελκύσετε· εἰ δ' ἐγὼ ἐθελήσαιμι, οὐ μόνον ὑμᾶς, ἀλλὰ καὶ τὴν γῆν ἅμα καὶ τὴν θάλασσαν συναρτήσας μετεωριῶ.—Πυθαγόρας ὁ Σάμιος πρῶτος ἐν τοῖς Ἕλλησιν ἐτόλμησεν εἰπεῖν, ὅτι τὸ μὲν σῶμα τεθνήξεται,[2] ἡ δὲ ψυχὴ ἀναπτᾶσα[3] οἰχήσεται ἀθάνατος καὶ ἀγήρως.—Ἐμπεδοκλῆς τὴν τῶν Ἀκραγαντίνων τρυφὴν ἰδὼν, ἔλεγεν· Ἀκραγαντῖνοι τρυφῶσι μὲν ὡς αὔριον ἀποθανούμενοι,[4] οἰκίας δὲ κατασκευάζονται ὡς πάντα τὸν χρόνον βιωσόμενοι.[4]—Ἡρακλῆς τὴν Ἡσιόνην ἰδὼν κήτει ἐκκειμένην, υπέσχετο[5] σώσειν αὐτὴν, εἰ τὰς ἵππους τοῦ Λαομέδοντος λήψεται.[6]

1°. καθίημι.—2°. θνήσκω.—3°. ἀνίπταμαι.—4°. The future participle expresses design.—5°. ὑπισχνέομαι.—6°. λαμβάνω.

UNIVERSITY CALIFORNIA

5. *Τὼ Ἀλωέως παῖδε, ἀτασθάλω ὄντε, δίκας ἐτισάτην,[1] ἢ[2] κλίμακα ἐπὶ τὸν οὐρανὸν ἐποιησάσθην.—Πολλὰ ἦσαν[3] ἐν τοῖς παλαιοῖς χρόνοις θεῶν ἀγάλματα, ὧν τὰ μὲν[4] δὶ ἔκπληξιν ἐσεβάσθη, τὰ δὲ[4] διὰ τὸ κάλλος ἐπηνέθη.[5]—Μηδέποτε ἐπὶ μηδενὸς[6] εἴπῃς, ὅτι ἀπώλεσα[7] αὐτὸ, ἀλλ᾿ ὅτι ἀπέδωκα· τὸ παιδίον ἀπέθανεν, ἀπεδόθη· τὸ χωρίον ἀφῃρέθη,[8] οὐκοῦν καὶ τοῦτο ἀπεδόθη.—Ἀκταίων τραφεὶς[9] παρὰ Χείρωνι, κυνηγὸς ἐδιδάχθη, καὶ ὕστερον κατεβρώθη[10] ἐν τῷ Κιθαιρῶνι ὑπὸ τῶν ἰδίων κυνῶν.*

1°. τίω.—2°. *because.*—3°. The more common usage connects with a neuter plural the verb in the singular, ἦν. See Gram. § 129. 1. p. 261.—4°. τὰ μὲν······τὰ δέ. Gram. § 126. 2. p. 257.—5°. ἐπαινέω.—6°. *any thing whatever.* Gram. § 149. 6. p. 307.—7°· ἀπόλλυμι.—8°. ἀφαιρέω.—9°. τρέφω.—10°. καταβιβρώσκω.

6. *Τὰ χρήματα τοῖς πλουσίος ἡ τύχη οὐ δεδώρηται, ἀλλὰ δεδάνεικεν.—Ἀλεξάνδρου ἡ σκηνὴ πολυτελὴς ἦν· χρυσοῖ γὰρ κίονες διειλήφεσαν[1] αὐτὴν, καὶ τὸν ὄροφον[2] διάχρυσος ἦν, καὶ ἐκπεπόνητο[3] ποικίλμασι πολυτελέσι. Καὶ πρῶτοι[4] μὲν Πέρσαι πεντακόσιοι περὶ αὐτὴν εἱστήκεισαν,[5] πορφυρᾶς καὶ μηλίνας ἠσθημένοι[6] στολάς. Ἐπ᾿ αὐτοῖς[7] δὲ τοξόται χίλιοι, φλόγινα ἐνδεδυκότες καὶ ὑσγινοβαφῆ.[8]*

1°. διαλαμβάνω.—2°. instead of ὁ αὐτῆς ὄροφος. Gram. § 131. 6. p. 265.—3°. for ἐξεπεπόνητο.—4°. *firstly.*—5°. ἵστημι.—6°. ἐσθέω.—7°. *after these.*—8°. ἐσθήματα understood.

7. *Γνῶθι[1] σαυτόν· μὴ πολλὰ λάλει· τὸν τετελευτηκότα μακάριζε· τοὺς πρεσβυτέρους σέβου· ἡ γλῶσσά σου μὴ προτρεχέτω τοῦ νοῦ· θυμοῦ κράτει· ἀδικούμενος διαλλάσσου, ὑβριζόμενος δὲ τιμωροῦ.—Φίλων παρόντων καὶ ἀπόντων μέμνησο.*

Ἀγάπα τὸν πλησίον· νόμῳ πείθου· θεοὺς σέβου· γονεῖς αἰδοῦ· ἄρχε σεαυτοῦ· πρόνοιαν τίμα· κακίας ἀπέχου· χρόνου φείδου· ὅρα τὸ μέλλον· σοφοῖς χρῶ[2]—Λαβὼν ἀπόδος· τὸ συμφέρον θηρῶ· ἐπὶ ῥώμης μὴ καυχῶ· κακοῖσι μὴ προσομίλει ἀνδράσιν, ἀλλ' ἀεὶ τῶν ἀγαθῶν ἔχου· θεοὺς δείδιθι· ἐπίορκον μὴ ἐπόμνυθι.

Μίνως.[3] Ὁ μὲν ληστὴς οὗτος ἐς τὸν Πυριφλεγέθοντα ἐμβεβλήσθω·[4] ὁ δ' ἱερόσυλος ὑπὸ τῆς Χιμαίρας διασπασθήτω· ὁ δὲ τύραννος ὑπὸ τῶν γυπῶν κειρέσθω τὸ ἧπαρ·[5] ὑμεῖς δὲ οἱ ἀγαθοὶ ἄπιτε ἐς τὸ Ἠλύσιον πεδίον, καὶ τὰς μακάρων νήσους κατοικεῖτε, ἀνθ' ὧν[6] δίκαια ἐποιεῖτε κατὰ τὸν βίον.

1°. γιγνώσκω.—2°. χράομαι.—3°. Minos, the judge of the lower regions, according to the Grecian mythology, pronounces sentence in the following passage on certain souls.— ἐμβάλλω.—5°. For the construction of the accusative ἧπαρ, see XII. 6. 2°.—6°. *for that*, Gram. § 151. p. 313.

8. Σωκράτης ἔλεγε, τοὺς μὲν ἄλλους ἀνθρώπους ζῆν, ἵνα ἐσθίοιεν, αὐτὸν δὲ ἐσθίειν ἵνα ζῴη.[1]—Ὁ αὐτὸς ἠξίου τοὺς νέους συνεχῶς κατοπτρίζεσθαι, ἵν', εἰ μὲν καλοὶ εἶεν, ἄξιοι[2] γίγνοιντο· εἰ δὲ αἰσχροὶ, παιδείᾳ τὴν δυσειδείαν ἐπικαλύπτοιεν.—Σόλων ἐρωτηθεὶς, πῶς ἂν μὴ γίγνοιτο ἀδίκημα ἐν τῇ πόλει, εἶπεν, Εἰ ὁμοίως ἀγανακτοῖεν οἱ μὴ ἀδικούμενοι τοῖς ἀδικουμένοις.[3]—Πυθαγόρας ἐρωτηθεὶς, πῶς ἂν οἰνόφλυξ τοῦ μεθύειν παύσαιτο, Εἰ συνεχῶς, ἔφη, θεωροίη[4] τὰ ὑπ' αὐτοῦ πρασσόμενα.—Ἀνάχαρσις ἐρωτηθεὶς, πῶς ἄν τις μὴ μεθύσκοιτο, Εἰ, ἔφη, ὁρῴη[1] τοὺς μεθύοντας[5] οἷα ποιοῦσι.—Θεόπομπος πρὸς τὸν ἐρωτήσαντα, πῶς ἄν τις ἀσφαλῶς τηροίη[1] τὴν βασιλείαν, Εἰ τοῖς μὲν φίλοις, ἔφη, μεταδιδοίη παῤῥησίας[6] δικαίας, τοὺς δὲ ἀρχομένους κατὰ δύναμιν μὴ περιορῴη ἀδικουμένους.

Εὐαγόρας τοσοῦτον ταῖς τοῦ σώματος καὶ ταῖς τῆς ψυχῆς ἀρεταῖς διήνεγκεν,[7] ὥστε, ὁπότε[8] μὲν αὐτὸν ὁρῷεν οἱ τότε βασιλεύοντες, ἐκπλήττεσθαι καὶ φοβεῖσθαι περὶ τῆς ἀρχῆς· ὁπότε[8] δὲ εἰς τοὺς τρόπους ἀποβλέψαιεν, οὕτω σφόδρα πιστεύειν, ὥστε καὶ εἴ τις ἄλλος τολμῴη περὶ αὐτοὺς ἐξαμαρτάνειν,[9] νομίζειν Εὐαγόραν αὐτοῖς ἔσεσθαι βοηθόν.—Οἱ ποιηταὶ τοιούτους λόγους περὶ τῶν θεῶν εἰρήκασιν,[10] οὓς οὐδεὶς ἂν περὶ τῶν ἐχθρῶν τολμήσειε[11] λέγειν.

1°. See Gram. § 103. Rem. III. 2. p. 156.—2°. τοῦ κάλλους understood.—3°. The construction is, ὁμοίως τοῖς ἀδικουμένοις, *just as the injured.*—4°. instead of θεωροῖ.—5°. instead of εἰ ὁρῷη (i. e. ὁρῷ,) οἷα ποιοῦσιν οἱ μεθύοντες.—6°. Gram. § 132. 3. b). (3). p. 267.—7°. διαφέρω.—8°. *as often as*, Gram. § 140. Rem. 5. p. 287.—9°. *commit an offence against them.*—10°. ἐρέω.—11°. τολμήσειεν ἄν. See Gram. § 140. Rem 3. p. 287.

Εὐκλείδης ὁ Σωκρατικὸς, ἀκούσας τοῦ ἀδελφοῦ λέγοντος·[1] Ἀπολοίμην,[2] εἰ μή σε τιμωρησαίμην, Ἐγὼ δὲ,[3] εἶπεν, εἰ μή σε φιλεῖν ἡμᾶς[4] πείσαιμι.—Εἴ τις τὸν τῆς εὐκλείας ἔρωτα ἐκβάλοι ἐκ τοῦ βίου, τί ἂν ἔτι ἀγαθὸν ἡμῖν γένοιτο, ἢ τίς ἄν τι λαμπρὸν ἐργάσασθαι ἐπιθυμήσειεν;[5]—Τῷ αὐτῷ φυσήματι τὸ μὲν πῦρ ἀνακαύσειας ἂν[6] καὶ μεῖζον ποιήσειας ἐν βραχεῖ, καὶ τὸ τοῦ λύχνου φῶς ἀποσβέσειας.[7]—Μάλιστα ἂν εὐδοκιμοίης, εἰ χαίνοιο ταῦτα μὴ πράττων, ἃ τοῖς ἄλλοις ἂν πράττουσιν[8] ἐπιτιμῴης.—Εἰ ἅπαντες μιμησαίμεθα τὴν Λακεδαιμονίων ἀργίαν καὶ πλεονεξίαν, εὐθὺς ἂν ἀπολοίμεθα·[9] εἰ δὲ τοῖς τῶν Αἰγυπτίων χρῆσθαι νομίμοις βουληθείημεν, εὐδαιμόνως ἂν τὸν βίον διατέλοιμεν.

1°. Ἀκούειν governs the genitive, Gram. § 132. 4. d). p. 269.—2°. ἀπόλλυμι.—3°. ἀπολοίμην understood.—4°. instead of ἐμέ.—5°. Gram. § 103. Rem. III. 3. p. 156.—6°. that is, ἀνακαύσεις, like *accenderis* for *accendes*, in Latin, with an idea of possibility. Gram. § 140. 11. p. 286.—7°. ἀποσβέννυμι.—8°. *if they did them*: the construction is, ἃ ἂν ἐπιτιμῴης.—9°. ἀπολοίμεθα ἄν, *we should have been ruined.*

9. Σωκράτης λέγει τῶν ἄλλων ἀνθρώπων διαφέρειν, καθόσον οἱ μὲν ζῶσιν, ἵν᾽ ἐσθίωσιν, αὐτὸς δὲ ἐσθίει ἵνα ζῇ.[1]—Θεώρει ὥσπερ ἐν κατόπτρῳ τὰς σαυτοῦ πράξεις, ἵνα τὰς μὲν καλὰς ἐπικοσμῇς, τὰς δ᾽ αἰσχρὰς καλύπτῃς.—Ὁ Πίττακος τῷ μεθύοντι, ἐὰν ἁμάρτῃ, διπλῆν ζημίαν ἔθηκεν, ἵνα μὴ μεθύωσιν οἱ πολῖται.—Τὸν οἶνον ἢν πίνῃ τις μετρίως, τὸ σῶμα ὤνησε,[2] τὴν δὲ ψυχὴν οὐκ ἔβλαψεν· ἢν δὲ πίνῃ[3] πρὸς ὑπερβολὴν, καὶ ἤδη μεθύσκηται, αἰσχρὰ πάσχει, καὶ γελοῖον θέαμα τοῖς ἄλλοις παρέχει.—Ἀπόλλων ᾐτήσατο[4] παρὰ τῶν Μοιρῶν, ἵνα, ὅταν Ἄδμητος μέλλῃ τελευτᾷν, ἀπολυθείη τοῦ θανάτου, ἂν ἑκουσίως τις ὑπὲρ αὐτοῦ θνήσκειν ἕληται.[5]—Πομπηΐου καὶ Καίσαρος διαστάντων,[6] ὁ Κικέρων ἔφη· Γιγνώσκω ὃν φύγω, μὴ γιγνώσκων[7] πρὸς ὃν φύγω.—Οἱ δραπέται κἂν[8] μὴ διώκωνται, φοβοῦνται, οἱ δὲ ἄφρονες κἂν[8] μὴ κακῶς πράττωσι, ταράττονται.

Οἱ Κρῆτες τοὺς παῖδας μανθάνειν τοὺς νόμους ἐκέλευον μετά τινος μελῳδίας, ἵνα ἐκ τῆς μουσικῆς ψυχαγωγῶνται, καὶ εὐκολώτερον αὐτοὺς τῇ μνήμῃ παραλαμβάνωσιν.—Διογένης ἰδὼν τοξότην ἀφυῆ, παρὰ τὸν σκοπὸν ἐκάθισεν, εἰπὼν, Ἵνα μὴ πληγῶ.

—Χωρὶς τῶν ἀναγκαίων κακῶν
αὐτοὶ παρ᾽ αὐτῶν ἕτερα προσπορίζομεν·
λυπούμεθ᾽, ἢν πτάρῃ[9] τις· ἢν εἴπῃ κακῶς,[10]
ὀργιζόμεθ᾽· ἢν ἴδῃ τις ἐνύπνιον, σφόδρα
φοβούμεθ᾽· ἢν γλαὺξ ἀνακράγῃ, δεδοίκαμεν.

1°. See the first sentence of XII. 8. where these same words occur, but in the optative instead of the subjunctive mood. See Gram. § 140. 2. p. 283. —2°. instead of ὁ οἶνος ἢν πίνῃ τις αὐτὸν μετρίως, ὤνησε (from ὀνίνημι) τὸ σῶμα.—3°. τὶς αὐτὸν understood.—4°. αἰτέω.—5°. αἱρέω.—6°. διΐστημι.—7°. *without knowing.*—8°. καὶ ἐάν.—9°. πταίρω. Sneezing was thought auspicious or ominous according to circumstances.—10°. *when any one utters an ill-omened word.*

10. Ἐδιδάχθη[1] Ἡρακλῆς ἁρματηλατεῖν μὲν ὑπὸ Ἀμφιτρύωνος· παλαίειν δὲ ὑπὸ τοῦ Αὐτολύκου· τοξεύειν δὲ ὑπὸ Εὐρύτου· ὁπλομαχεῖν δὲ ὑπὸ Κάστορος· κιθαρῳδεῖν δὲ ὑπὸ Λίνου· οὗτος δὲ ὑπὸ Ἡρακλέους τῇ κιθάρᾳ πληγεὶς[2] ἀπέθανεν· ἐπιπλήξαντα γὰρ αὐτὸν ὀργισθεὶς ἀπέκτεινεν.

Πυθαγόρας λέγεται παρεγγυᾷν τοῖς μαθηταῖς, τοὺς πρεσβυτέρους τιμᾷν, μὴ ὀμνύναι θεοὺς, ἀνομίᾳ πολεμεῖν, φυτὸν ἥμερον μήτε φθείρειν μήτε σίνεσθαι, μνήμην ἀσκεῖν, ἐν ὀργῇ μήτε τι λέγειν, μήτε πράσσειν.—Χείλων, εἷς τῶν ἑπτὰ σοφῶν, προσέταττε, γλώττης κρατεῖν,[3] μὴ κακολογεῖν τοῖς πλησίον, γῆρας τιμᾷν, ζημίαν αἱρεῖσθαι μᾶλλον ἢ κέρδος αἰσχρὸν, ἀτυχοῦντι μὴ ἐπιγελᾷν, νόμοις πείθεσθαι.

Κάδμον φασὶ τὸν Ἀγήνορος[4] ἐκ Φοινίκης ὑπὸ τοῦ βασιλέως ἀποσταλῆναι[5] πρὸς ζήτησιν τῆς Εὐρώπης, ἐντολὰς λαβόντα, ἢ τὴν παρθένον ἀγαγεῖν, ἢ μὴ ἀνακάμπτειν εἰς τὴν Φοινίκην. Μὴ δυνάμενον δὲ ἀνευρεῖν, ἀπογνῶναι[6] τὴν ἐς οἶκον ἀνακομιδὴν, καὶ κατά τινα χρησμὸν κτίσαι τὰς Θήβας. Ἐνταῦθα δὲ κατοικήσαντα γῆμαι[7] μὲν Ἁρμονίαν, γεννῆσαι δὲ ἐξ αὐτῆς Σεμέλην, καὶ Ἰνὼ, καὶ Αὐτονόην, καὶ Ἀγαύην.

1°. διδάσκω.—2°. πλήσσω.—3°. See Gram. § 132. 4. c). p. 269.—4°. υἱὸν understood.—5°. ἀποστέλλω.—6°. ἀπογιγνώσκω.—7°. γαμέω.

11. Λέγεται Ἐμπεδοκλῆς εἰς τοὺς κρατῆρας τῆς Αἴτνης ἐναλάσθαι,[1] καὶ ἀφανισθῆναι, βουλόμενος τὴν περὶ αὐτοῦ φήμην βεβαιῶσαι, ὅτι γεγόνοι θεός·[2] ὕστερον δὲ γνωσθῆναι, ἀναῤῥιπισθείσης αὐτοῦ μιᾶς τῶν κρηπίδων· χαλκᾶς γὰρ εἴθιστο[3] ὑποδεῖσθαι.

Τὸ μὲν ἐγκαλέσαι καὶ ἐπιτιμῆσαι ῥᾴδιον· τὸ δὲ, ὅπως τὰ παρόντα βελτίω γένηται, συμβουλεῦσαι, τοῦτ' ἔμφρονος συμβούλου ἔργον.—Θεὸν μὲν νοῆσαι χαλεπὸν, φράσαι δὲ ἀδύνατον· τὸ γὰρ ἀσώματον σώματι σημῆναι ἀδύνατον.

Οἱ Ἀθηναῖοι τὸν Ἐριχθόνιον ἐκ τῆς γῆς ἀναδοθῆναί[4] φασι, καὶ τοὺς πρώτους ἀνθρώπους ἐκ τῆς Ἀττικῆς ἀναφῦναι· οἱ Θηβαῖοι δὲ ἐξ ὄφεως ὀδόντων ἄνδρας ἀναβεβλαστηκέναι[5] λέγουσιν.—Οἱ Νάξιοι μυθολογοῦσι τὸν Διόνυσον παρ' αὐτοῖς τραφῆναι·[6] καὶ διὰ τοῦτο τὴν νῆσον αὐτῷ γεγονέναι προσφιλεστάτην.

Λόγος ἐστὶ Δῆλον τὴν νῆσον, πρὶν μὲν ἀνθρώποις φανῆναι τὸν Ἀπόλλωνα, τῷ πελάγει κρύπτεσθαι, φανέντος δὲ τοῦ θεοῦ ἀναδραμεῖν[7] ἐκ τῶν βυθῶν καὶ στῆναι ἐν μέσοις τοῖς κύμασιν.[8]

1°. ἐνάλλομαι.—2. See Gram. § 140. 3. p. 283.—3°. ἐθίζω.—4°. ἀναδίδωμι.—5°. ἀναβλαστάνω.—6°. τρέφω.—7°. ἀνατρέχω.—8°. for ἐν μέσῳ τῶν κυμάτων.

12. Ἀναξαγόρας λέγεται ἀσεβείας[1] κριθῆναι, διότι τὸν ἥλιον μύδρον ἔλεγε διάπυρον· ἀπολογησαμένου δὲ ὑπὲρ αὐτοῦ Περικλέους, πέντε ταλάντοις ζημιωθῆναι καὶ φυγαδευθῆναι.—Σχολαστικὸς νοσοῦντα ἐπισκεπτόμενος, ἠρώτα περὶ τῆς ὑγιείας. ὁ δὲ οὐκ ἠδύνατο[2] ἀποκριθῆναι·[3] ὀργισθεὶς οὖν, Ἐλπίζω, ἔφη, κἀμὲ[4] νοσήσειν, καὶ ἐλθόντι σοὶ μὴ ἀποκρινεῖσθαι.[3]—Λέγεται, τὴν Χίμαιραν τραφῆναι μὲν[5] ὑπὸ Ἀμισωδάρου, γεννηθῆναι δὲ[5] ἐκ Τυφῶνος καὶ Ἐχίδνης.

1°. Gram. § 132. 4. c). p. 268.—2°. δύναμαι· for the augment, see Gram. § 82. Rem. 3. p. 96.—3°. ἀποκρίνομαι.—4°. καὶ ἐμέ.—5°. μὲν.... δέ Gram. § 150. p. 309. at bottom.

Ξέρξης ὡς ἐπύθετο τὸν Ἑλλήσποντον ἐζεῦχθαι,[1] καὶ τὸν Ἄθω διεσκάφθαι,[2] προῆγεν ἐκ τῶν Σάρδεων.—Ὁ Πλάτων τοῖς μεθύουσι συνεβούλευε κατοπτρίζεσθαι· ἀποστήσεσθαι[3] γὰρ τῆς τοιαύτης ἀσχημοσύνης.[4]

1°. ζεύγνυμι.—2°. διασκάπτω.—3°. ἀφίστημι.—4°. that is, τῆς μέθης.

Καὶ ζῶν ὁ φαῦλος καὶ θανὼν κολάζεται.—Οἱ δελφῖνες ἀνασκιρτῶντες χειμῶνα ἐπιόντα[1] μηνύουσιν.—Οἱ περὶ τὴν Σαλαμῖνα διατρίβοντες Ἀθηναῖοι, θεωροῦντες τὴν Ἀττικὴν πυρπολουμένην, καὶ τὸ τέμενος τῆς Ἀθηνᾶς ἀκούοντες κατεσκάφθαι,[2] δεινῶς ἠθύμουν.[3]

1°. ἔπειμι.—2°. κατασκάπτω.—3°. ἀθυμέω.

Δαίδαλος πρῶτος ἀγαλμάτων τὰ σκέλη διαβεβηκότα,[1] καὶ τὰς χεῖρας διατεταμένας[2] ποιῶν, ζῶντα ἀγάλματα κατασκευάζεσθαι ἐλέγετο. Οἱ γὰρ πρὸ αὐτοῦ τεχνῖται κατεσκεύαζον τὰ ἀγάλματα τοῖς μὲν ὄμμασι μεμυκότα, τὰς δὲ χεῖρας ἔχοντα καθειμένας,[3] καὶ ταῖς πλευραῖς κεκολλημένας.[4]

1°. διαβαίνω.—2°. διατείνω.—3°. καθίημι.—4°. κολλάω.

13. Βασκάνου τινὸς ἐσκυθρωπακότος,[1] ὁ Βίων, Ἢ τούτῳ, ἔφη, κακὸν γέγονεν ἢ ἄλλῳ ἀγαθόν.—Ὁ αὐτὸς πρὸς τὸν[2] τὰ χωρία κατεδηδοκότα,[3] Τὸν μὲν Ἀμφιάραον, ἔφη, ἡ γῆ κατέπιε, σὺ δὲ τὴν γῆν.—Τὸν Μίνω βεβασιλευκότα νομιμώτατα, καὶ μάλιστα δικαιοσύνης[4] πεφροντικότα, δικαστὴν καθ' ᾅδου ἀποδεδεῖχθαι[5] λέγουσι.—Τὰ παιδία, ἄχρι γένηται τετταράκοντα ἡμερῶν, ἐγρηγορότα[6] μὲν οὐ γελᾷ οὐδὲ δακρύει, ὑπνοῦντα δὲ ἀμφότερα.[7]

1°. σκυθρωπάζω.—2°. *to one.*—3°. κατέδω.—4°. Gram. § 132. 4. e). p. 268.—5°. ἀποδείκνυμι.—6°. ἐγείρω.—7°. ποιεῖ understood.

14. Λάμαχος ἐπετίμα τινὶ τῶν λοχαγῶν ἁμαρτάνοντι· τοῦ δὲ φήσαντος,[1] μηκέτι τοῦτο ποιήσειν, Οὐκ ἔστιν,[2] εἶπεν, ἐν πολέμῳ δὶς ἁμαρτάνειν.—Δημοσθένης λοιδορουμένου τινὸς[1] αὐτῷ, Οὐ συγκαταβαίνω, εἶπεν, εἰς ἀγῶνα,[3] ἐν ᾧ ὁ ἡττώμενος τοῦ νικῶντός[4] ἐστι κρείττων.

1°. genitive absolute, Gram. § 146. 2. p. 298.—2°. *it is not permitted.*—3°. that is τῆς λοιδορίας.—4°. Gram. § 132. 4. e). p. 269.

Εἴ τις οἴεται τερπνότερον εἶναι τὸν ἐν ἄστει βίον τοῦ[1] ἐν ἀγροῖς, ἐνθυμηθήτω πρὸς ἑαυτὸν, οἷον[2] μέν ἐστι βότρυς[3] ὁρᾷν ἐξ ἀμπέλου κρεμαμένους, οἷον[2] δὲ ἰδεῖν λήϊα Ζεφύρων αὔραις κινούμενα, οἷον δὲ ἀκοῦσαι βοῶν μυκωμένων καὶ προβάτων βληχωμένων,[4] οἷον δὲ θέαμα[5] δαμάλεις σκιρτῶσαι καὶ ἕλκουσαι γάλα· ἐμοὶ γὰρ δοκεῖ τὰ ἐν τοῖς θεάτροις δεικνύμενα μηδὲν εἶναι πρὸς τὴν ἀπ᾽ ἐκείνων[6] ἡδονήν.

1°. Gram. § 132. 4. e). p. 269.—2°. *quale sit*, that is, *how pleasant.*—3°. Gram. § 50. Rem. 1. p. 56, at bottom.—4°. verbs of *hearing*. Gram. § 132. 4. d). p. 269.—5°. *what a spectacle.*—6°. ἡ ἀπὸ ἐκείνων ἡδονὴ, *the pleasure arising from those things.*

Μυθολογοῦσι τὴν Δήμητραν, μὴ δυναμένην εὑρεῖν τὴν θυγατέρα, λαμπάδας ἐκ τῶν κατὰ τὴν Αἴτνην κρατήρων ἀναψαμένην, ἐπελθεῖν ἐπὶ πολλὰ μέρη τῆς οἰκουμένης, τῶν δ᾽ ἀνθρώπων[1] τοὺς μάλιστα ταύτην προσδεξαμένους εὐεργετῆσαι, τὸν τῶν πυρῶν καρπὸν ἀντιδωρησαμένην.

1°. Gram. § 132. 3. b). (1). p. 267.

Τοῦ Κρόνου τὰ ἑαυτοῦ τέκνα κατεσθίοντος,[1] ὁ Ζεὺς, κλαπεὶς[2] ὑπὸ τῆς Ῥέας, καὶ ἐς τὴν Κρήτην ἐκτεθεὶς,[3] ὑπ᾽ αἰγὸς ἀνετράφη.[4]—Ὁ Ἴκαρος, ὁ τοῦ Δαιδάλου υἱὸς, τακέντος[5] αὐτῷ τοῦ κηροῦ,[1] καὶ τῶν πτερῶν περιῤῥυέντων,[1] εἰς τὸ πέλαγος ἐνέπιπτεν.

1°. Gram. § 146. 2. p. 298.—2°. κλέπτω.—3°. ἐκτίθημι.—4°. ἀνατρέφω.—5°. τήκω.

SECOND COURSE.

EXERCISES IN READING.

FABLES AND ANECDOTES.

I. FABLES.

1. *The Wolf.*

Λύκος ἰδὼν ποιμένας ἐσθίοντας ἐν σκηνῇ πρόβατον, ἐγγὺς προσελθὼν Ἡλίκος, ἔφη, ἂν ἦν θόρυβος, εἰ ἐγὼ τοῦτο ἐποίουν![1]

2. *The Lioness.*

Λέαινα, ὀνειδιζομένη ὑπὸ ἀλώπεκος, ἐπὶ τὸ[2] *διὰ παντὸς*[3] *ἕνα*[4] *τίκτειν, Ἕνα, ἔφη, ἀλλὰ λέοντα.*

3. *The Fly and the Ox.*

Κώνωψ ἐπὶ κέρατος βοὸς ἐκαθέσθη[5] *καὶ ηὔλει· εἶπε δὲ πρὸς τὸν βοῦν· Εἰ βαρῶ σε τὸν τένοντα, ἀναχωρήσω. Ὁ δὲ ἔφη· Οὔτε ὅτε ἦλθες*[6] *ἔγνων,*[7] *οὔτε ἐὰν μένῃς,*[8] *μελήσει μοι.*

1°. Gram. § 140. 8. 4). p. 285. ἦν *there was*, ἦν ἄν, *there would be*.—2°. The construction is, ἐπὶ τὸ τίκτειν, *for bringing forth*.—3°. χρόνου understood, *in all her life time:* or it may be taken precisely like the English elliptical phrase, *in all*.—4°. σκύμνον understood.—5°. καθέζομαι.—6°. ἔρχομαι.—7°. γιγνώσκω.—8°. Gram. § 140. 7. p. 284.

4. *The Peasant and the Serpent.*

Γεωργὸς χειμῶνος ὥρᾳ ὄφιν εὑρὼν[9] ὑπὸ κρύους πεπηγότα,[10] τοῦτον λαϐὼν ὑπὸ κόλπου κατέθετο. Θερμανθεὶς δὲ ἐκεῖνος, καὶ ἀναλαϐὼν τὴν ἰδίαν φύσιν, ἔπληξε τὸν εὐεργέτην.

5. *The Fox and the Grapes.*

Βότρυας πεπείρους ἀλώπηξ κρεμαμένους[11] ἰδοῦσα, τούτους ἐπειρᾶτο καταφαγεῖν. Πολλὰ δὲ καμοῦσα καὶ μὴ δυνηθεῖσα[12] ψαῦσαι, τὴν λύπην παραμυθȣμένη, ἔλεγεν· Ὄμφακες ἔτι εἰσίν.

6. *The Kid and the Wolf.*

Ἔριφος ἐπί τινος δώματος ἑστὼς,[13] ἐπειδὴ λύκον παριόντα[14] εἶδεν, ἐλοιδόρει καὶ ἔσκωπτεν αὐτόν. Ὁ δὲ λύκος ἔφη· Ὦ οὗτος, οὐ σύ με λοιδορεῖς, ἀλλὰ ὁ τόπος.

7. *The Boy, bathing.*

Παῖς λουσάμενος ἐν ποταμῷ ἐκινδύνευε πνιγῆναι· καὶ ἰδών τινα παροδίτην, ἐπεφώνει, Βοήθησον. Ὁ δὲ ἐμέμφετο τῷ παιδὶ τὴν τολμηρίαν. Τὸ δὲ παιδίον εἶπεν· Ἀλλὰ νῦν μοι βοήθησον, ὕστερον δὲ σωθέντι μέμφου.[15]

8. *The Dog and the Fox.*

Κύων θηρευτικὸς λέοντα ἰδὼν, τοῦτον ἐδίωκεν· ὡς δὲ ἐπιστραφεὶς[16] ἐκεῖνος ἐϐρυχήσατο, ὁ κύων φοϐηθεὶς εἰς

—9°. εὑρίσκω.—10°. πήγνυμι.—11°. κρεμάννυμι.—12°. δύναμαι.—13°. ἵστημι, equivalent to ἑστηκώς· Gram. § 107. Rem. II. 3. p. 192.—14°. πάρειμι.—15°. μέμφομαι.—16°. ἐπιστρέφω.—

τὰ ὀπίσω ἔφυγεν. Ἀλώπηξ δὲ θεασαμένη αὐτὸν ἔφη· Ὦ κακὴ κεφαλὴ, σὺ λέοντα ἐδίωκες; οὔτίνος[17] οὐδὲ τὸν βρυχηθμὸν ὑπήνεγκας.[18]

9. *The Wolf and the Lamb.*

Λύκος ἄμνον ἐδίωκεν. Ὁ δὲ εἰς ναὸν κατέφυγε. Προςκαλουμένου δὲ τοῦ λύκου τὸν ἄμνον, καὶ λεγοντος, ὅτι θυσιάσει αὐτὸν ὁ ἱερεὺς τῷ θεῷ, ἐκεῖνος ἔφη πρὸς αὐτόν· Ἀλλ' αἱρετώτερόν μοί ἐστι θεῷ θυσίαν εἶναι, ἢ ὑπὸ σοῦ διαφθαρῆναι.[19]

10. *The Ass in the Lion's Skin.*

Ὄνος δορὰν λέοντος ἐπενδυθεὶς,[20] λέων ἐνομίζετο πᾶσι, καὶ φυγὴ μὲν ἦν ἀνθρώπων, φυγὴ δὲ ποιμνίων. Ὡς δὲ ἄνεμος βιαιότερον πνεύσας ἐγύμνου[21] αὐτὸν τοῦ πρωκαλύμματος,[22] τότε πάντες ἐπιδραμόντες[23] ξύλοις καὶ ῥοπάλοις αὐτὸν ἔπαιον.

11. *The Woman and the Hen.*

Γυνή τις χήρα ὄρνιν εἶχε, καθ' ἑκάστην ἡμέραν ᾠὸν αὐτῇ τίκτουσαν. Νομίσασα δὲ, ὡς, εἰ πλείους τῇ ὄρνιθι κριθὰς παραβάλοι, δὶς τέξεται[24] τῆς ἡμέρας,[25] τοῦτο πεποίηκεν. Ἡ δὲ ὄρνις πιμελὴς γενομένη οὐδ' ἅπαξ τῆς ἡμέρας τεκεῖν ἠδύνατο.[26]

12. *The Birds and the Peacock.*

Τῶν ὀρνίθων βουλομένων ποιῆσαι βασιλέα, ταὼς ἑαυτὸν ἠξίου[27] διὰ τὸ κάλλος χειροτονεῖν. Αἱρουμένων

17°. ὅστις.—18°. ὑποφέρω.—19°. διαφθείρω.—.20°. ἐπενδύνω—21°. γυμνόω.—22°. Gram. § 132. 3. a). p. 267.—23°. ἐπιτρέχω—24°. τίκτω.—25°. Gram. § 132. 3. b). (2). p. 267.—26°. δύναμαι· for the augment, see Gram. § 82. Rem. 3. p. 96.—27°. ἀξιόω.

δὲ τοῦτον τῶν ἄλλων, ὁ κολοιὸς ὑπολαϐὼν ἔφη· Ἀλλ' εἰ, σοῦ βασιλεύοντος, ὁ ἀετὸς ἡμᾶς καταδιώκειν ἐπιχειρήσει, πῶς ἡμῖν ἐπαρκέσεις;

II. ANECDOTES OF PHILOSOPHERS.

Zeno.

1. *Ζήνων δοῦλον ἐπὶ κλοπῇ ἐμαστίγου. Τοῦ δὲ εἰπόντος, Εἵμαρτό* [1] *μοι κλέψαι, Καὶ δαρῆναι,*[2] *ἔφη.*—2. *Πρὸς τὸ*[3] *φλυαροῦν μειράκιον, Διὰ τȣ̃το, εἶπε, δύο ὦτα ἔχομεν, στόμα δὲ ἕν, ἵνα πλείω μὲν ἀκούωμεν,*[4] *ἧττονα δὲ λέγωμεν.*[4]—3. *Νεανίσκου πολλὰ λαλοῦντος, Ζήνων ἔφη, Τὰ ὦτά σȣ εἰς τὴν γλῶσσαν συνεῤῥύηκεν.*[5]—4. *Ζήνων, Ἀντιγόνȣ πρέσϐεις Ἀθήναζε πέμψαντος, κληθεὶς ὑπ' αὐτῶν σὺν ἄλλοις φιλοσόφοις ἐπὶ δεῖπνον, κἀκείνων παρὰ πότον σπευδόντων ἐπιδείκνυσθαι τὴν αὑτῶν πολυμαθίαν, αὐτὸς ἐσίγα. Τῶν δὲ πρεσϐέων ζητούντων, τί ἀπαγγείλωσι*[6] *περὶ αὐτοῦ πρὸς Ἀντίγονον; Τοῦτ' αὐτὸ, ἔφη, ὃ βλέπετε, φιλόσοφον εἶναι· ἐν Ἀθήναις σιγᾷν ἐπιστάμενον.*

Aristotle.

5. *Ἀριστοτέλης ὀνειδιζόμενός ποτε, ὅτι πονηρῷ ἀνθρώπῳ ἐλεημοσύνην ἔδωκεν, Οὐ τὸν τρόπον, ἔφη, ἀλλὰ*

1°. *μείρομαι.* See above, VIII. 3. 4. 8°. p. 25.—2°. *δαίρω.* or *δέρω· εἵμαρτό σοι* understood.—3°. The definite article is here used instead of the indefinite *τὶς, τί.* This is sometimes done in narratives, where a previous acquaintance with the subject is, as it were, thereby taken for granted.—4°. Gram. § 140. 2. p. 283.—5°. *συῤῥέω.*—6°. The subjunctive is used after questions expressive of doubt. Gram. § 140. Rem. 6. p. 238.

τὸν ἄνθρωπον ἐλέησα.—6. Τοὺς Ἀθηναίους ἔφασκεν[7] εὑρηκέναι πυροὺς καὶ νόμους· ἀλλὰ πυροῖς μὲν χρῆσθαι,[8] νόμοις δὲ μή.—7. Πρὸς τὸν καυχώμενον, ὡς ἀπὸ μεγάλης πόλεως εἴη,[9] Οὐ τοῦτο, ἔφη, δεῖ σκοπεῖν, ἀλλ᾽ εἴ τις μεγάλης πατρίδος ἄξιός ἐστιν.—8. Ἐρωτηθεὶς, πῶς ἂν προκόπτοιεν[9] οἱ μαθηταὶ, ἔφη, Ἐὰν τοὺς προέχοντας διώκοντες, τοὺς ὑστεροῦντας μὴ ἀναμένωσιν.[10]—9. Ἐρωτηθεὶς, πῶς ἂν τοῖς φίλοις προςφεροίμεθα,[11] ἔφη, Ὡς ἂν εὐξαίμεθα αὐτοὺς ἡμῖν προςφέρεσθαι.—10. Ἀριστοτέλης ἐνοχλούμενος ὑπὸ ἀδολέσχου, καὶ κοπτόμενος ἀτόποις τισὶ διηγήμασι, πολλάκις αὐτοῦ[12] λέγοντος, Οὐ θαυμαστὸν ὅ τι λέγω; Οὐ τοῦτό, φησι, θαυμαστόν· ἀλλ᾽ εἴ τις πόδας ἔχων σὲ ὑπομένει.

Plato.

11. Πλάτων θρασυνόμενον ἰδών τινα πρὸς τὸν ἑαυτοῦ πατέρα, Οὐ παύσῃ, μειράκιον, εἶπε, τούτου καταφρονῶν, δι᾽ ὃν μέγα φρονεῖν ἀξιοῖς;—12. Πλάτων ὀργιζόμενός ποτε τῷ οἰκέτῃ, ἐπιστάντος Ξενοκράτους, Λαβὼν, ἔφη, τοῦτον, μαστίγωσον, ἐγὼ γὰρ ὀργίζομαι.

Socrates.

13. Πρὸς Ἀλκιβιάδην εἰπόντα, οὐκ ἀνεκτὴ ἡ Ξανθίππη λοιδοροῦσα, Οὐ καὶ σὺ, εἶπε, χηνῶν βοώντων ἀνέχῃ; 14. Ἡ Ξανθίππη ἔφη, μυρίων μεταβολῶν τὴν πόλιν καὶ αὐτοὺς[13] κατασχουσῶν,[14] ἐν πάσαις ὅμοιον τὸ

7°. *φημί.*—8°. *χράομαι.*—9°. Gram. § 140. 3. p. 283.—10°. Gram. § 140. 7. p. 284.—11°. Gram. § 140. Rem. 3. p. 287..—12°. that is, *τοῦ ἀδολέσχου· the babbler frequently saying.*—13°. *αὐτούς* here expresses *herself, her husband, and their children.*—14°. *κατέχω.*

Σωκράτους πρόσωπον θεάσασθαι, καὶ προϊόντος ἐκ τῆς οἰκίας, καὶ ἐπανιόντος.

Diogenes.

15. Διογένης πρὸς τὸν εἰπόντα, κακὸν εἶναι τὸ ζῆν, Οὐ τὸ ζῆν, εἶπεν, ἀλλὰ τὸ κακῶς ζῆν.—16. Διογένης ὁ Σινωπεὺς, ὁ Κύων ἐπικαλούμενος, παντὶ τόπῳ ἐχρῆτο εἰς πάντα,[15] ἀριστῶν τε καὶ καθεύδων, καὶ διαλεγόμενος. Βακτηρίᾳ ἐπηρείσατο[16] ἀσθενήσας· ἔπειτα μέντοι καὶ διαπαντὸς ἐφόρει αὐτήν. Καὶ πήραν ἐκομίσατο, ἔνθα αὐτῷ τὰ σιτία ἦν. Ἐπιστείλας[17] δέ τινι οἰκίδιον αὐτῷ προνοήσασθαι, καὶ βραδύνοντος,[18] πίθον τινὰ ἔσχεν[19] οἰκίαν.—17. Διογένης ἡνίκα ἀπέλιπε τὴν πατρίδα,[20] εἷς αὐτῷ τῶν οἰκετῶν ἠκολούθει, ὄνομα Μάνης· ὃς οὐ φέρων τὴν μετ' αὐτοῦ διατριβὴν ἀπέδρα.[21] Προτρεπόντων δέ τινων ζητεῖν αὐτὸν, ἔφη, Οὐκ αἰσχρόν ἐστι, Μάνην μὲν μὴ δεῖσθαι Διογένους, Διογένην δὲ Μάνους; —18. Θεασάμενός ποτε παιδίον ταῖς χερσὶ πῖνον, ἐξέῤῥιψε τῆς πήρας τὴν κοτύλην, εἰπὼν, Παιδίον με νενίκηκεν εὐτελείᾳ. Ἐξέβαλε δὲ καὶ τὸ τρυβλίον, ὁμοίως παιδίον θεασάμενος, ἐπειδὴ κατέαξε[22] τὸ σκεῦος, τῷ κοίλῳ ἄρτῳ τὴν φακὴν ὑποδεχόμενον.—19. Λύχνον μεθ' ἡμέραν ἅψας, Ἄνθρωπον, ἔφη, ζητῶ.—20. Ὅτε ἁλοὺς[23] καὶ πωλούμενος ἠρωτήθη, τί οἶδε ποιεῖν, ἀπεκρίνατο, Ἀνδρῶν ἄρχειν· καὶ πρὸς τὸν κήρυκα,[24] Κήρυσσε, ἔφη, εἴ τις ἐθέλει δεσπότην αὐτῷ πρίασθαι.—21. Ἔλεγε τῷ

15°. *for every kind of occasion.*—16°. ἐπερείδω.—17°. ἐπιστέλλω.—18°. ἐκείνου understood, the person requested by Diogenes to prepare him a hut.—19°. ἔχω.—20°. Sinope in Asia Minor.—21°. ἀποδιδράσκω.—22°. κατάγνυμι· with respect to the augment of this word, See ἄγνυμι, Gram. § 114. p. 211. and § 83. Rem. 6. p. 98.—23°. ἁλίσκομαι.—24°. *the crier*, who sold the slaves by auction. Captives and prisoners of war were usually sold as slaves.

Ξενιάδῃ, τῷ πριαμένῳ αὐτὸν, δεῖν πείθεσθαι αὐτῷ, εἰ καὶ δοῦλος εἴη·[25] καὶ γὰρ ἰατρὸς ἢ κυβερνήτης εἰ δοῦλος εἴη, πεισθῆναι δεῖν αὐτῷ.[26]—22. Μοχθηροῦ τινος ἀνθρώπου ἐπιγράψαντος ἐπὶ τὴν οἰκίαν· Μηδὲν εἰςίτω[27] κακόν· Ὁ οὖν κύριος τῆς οἰκίας, ἔφη, ποῦ εἰςέλθοι ἄν;[28]—23. Ἐκ τοῦ βαλανείου ἐξιὼν, τῷ μὲν πυθομένῳ, εἰ πολλοὶ ἄνθρωποι λοῦνται, ἠρνήσατο· τῷ δὲ,[29] εἰ πολὺς ὄχλος,[30] ὡμολόγησεν.—24. Πρὸς τοὺς ἑρπύσαντας ἐπὶ τὴν τράπεζαν μῦς, Ἰδοὺ, φησὶ, καὶ Διογένης παρασίτους τρέφει.—25. Πρὸς τὸν πυθόμενον, ποίᾳ ὥρᾳ δεῖ ἀριστᾷν, Εἰ μὲν πλούσιος, ἔφη, ὅταν θέλῃ, εἰ δὲ πένης, ὅταν ἔχῃ.[31]—26. Πλάτωνος ὁρισαμένου,[32] Ἄνθρωπος ἐςὶ ζῶον δίπουν, ἄπτερον, καὶ εὐδοκιμοῦντος,[33] τίλας[34] ἀλεκτρυόνα εἰςήνεγκεν[35] εἰς τὴν σχολὴν αὐτοῦ καὶ ἔφη, Οὗτός ἐστιν ὁ Πλάτωνος ἄνθρωπος.—27. Διογένης ἄσωτον ᾔτει μνᾶν· τοῦ δὲ εἰπόντος, Διὰ τί τοὺς μὲν ἄλλους τριώβολα, ἐμὲ δὲ μνᾶν αἰτεῖς; ἔφη, Παρὰ μὲν τῶν ἄλλων ἐλπίζω πάλιν λαβεῖν, παρὰ δὲ σοῦ οὐκέτι.—28. Ἀττικοῦ τινος ἐγκαλοῦντος αὐτῷ, διότι Λακεδαιμονίους μᾶλλον ἐπαινῶν, παρ᾽ ἐκείνοις οὐ διατρίβει· Οὐδὲ γὰρ[36] ἰατρὸς, εἶπεν, ὑγιείας ὢν ποιητικὸς, ἐν τοῖς ὑγιαίνουσι τὴν διατριβὴν ποιεῖται.—29. Διογένης τὴν εἰς Ἀθήνας ἐκ Κορίνθου, καὶ πάλιν εἰς Κόρινθον ἐκ Θηβῶν μετάβασιν αὐτοῦ

25°. Gram. § 140. 3. p. 283.—26°. These words may be rendered as if they stood thus, δεῖν γὰρ πεισθῆναι καὶ ἰατρῷ ἢ κυβερνήτῃ, εἰ καὶ δοῦλοι εἴησαν.—27°. εἴςειμι.—28°. Gram. § 140. 11. p. 286.—29°. πυθομένῳ understood.—30°. λοῦται understood.—31°. ὅταν, see Gram. § 140. 7. p 284.——32°. ὁρίζω. *Plato having defined.*—33°. *and being applauded*, for this definition.—34°. τίλλω· Diogenes understood.—35°. εἰςφέρω.—36°. γὰρ here refers to some such phrase as "no wonder," understood. Gram. § 150. 1. p. 310. under γάρ.

παρέβαλε[37] ταῖς[38] τοῦ βασιλέως,[39] ἔαρος[40] μὲν ἐν Σούσοις, καὶ χειμῶνος ἐν Βαβυλῶνι, θέρους[40] δ᾽ ἐν Μηδίᾳ διατριβαῖς.

Antisthenes.

30. Ἀντισθένης ποτὲ ἐπαινούμενος ὑπὸ πονηρῶν, Ἀγωνιῶ, ἔφη, μή τι κακὸν εἴργασμαι.[41]—31. Ἐρωτηθεὶς, τί αὐτῷ περιγέγονεν ἐκ φιλοσοφίας, ἔφη, Τὸ δύνασθαι ἑαυτῷ ὁμιλεῖν.—32. Ἐρωτηθεὶς, τί τῶν μαθημάτων ἀναγκαιότατον, ἔφη, Τὸ κακὰ ἀπομαθεῖν.—33. Συνεβούλευεν Ἀθηναίοις, τοὺς ὄνους ἵππους[42] ψηφίσασθαι. Ἄλογον δὲ ἡγουμένων,[43] Ἀλλὰ μὴν καὶ στρατηγοὶ, φησὶ, γίγνονται παρ᾽ ἡμῶν μηδὲν μαθόντες, μόνον δὲ χειροτονηθέντες.—34. Αἱρετώτερον εἶπεν εἶναι, εἰς κόρακας ἐμπεσεῖν[44] ἢ εἰς κόλακας· τοὺς μὲν γὰρ ἀποθανόντος[45] τὸ σῶμα, τοὺς δὲ ζῶντος τὴν ψυχὴν λυμαίνεσθαι.

Aristippus.

35. Ἀρίστιππος, ἐρωτηθεὶς, τί αὐτῷ περιγέγονεν ἐκ φιλοσοφίας, ἔφη, Τὸ δύνασθαι πᾶσι θαῤῥούντως ὁμιλεῖν. —36. Ἐρωτηθείς ποτε, τί πλέον ἔχουσιν οἱ φιλόσοφοι, ἔφη, Ἐὰν πάντες οἱ νόμοι ἀναιρεθῶσιν, ὁμοίως βιώσομεν.[46]—37. Ἐρωτηθείς ποτε, τίνι[47] διαφέρει ὁ σοφὸς τοῦ μὴ σοφοῦ, ἔφη, Εἰς ἀγνῶτα τόπον τοὺς δύο γυμνοὺς ἀπόστειλον, καὶ εἴσῃ.—38. Ἐρωτηθεὶς, τίνι[47] διαφέρουσιν οἱ

37°. παραβάλλω· *compared his removal.*—38°. ταῖς agrees with διατριβαῖς at the end ofthe sentence.—39°. The king of Persia is here intended, often called by the Greek writers simply "the king."—40°- genitive of time. See Gram. § 132. 3. b). (2). p. 267.—41°. ἐργάζομαι.—42°. εἶναι understood, *to vote the asses to be horses.*—43°. Ἀθηναίων τοῦτο understood.—44°. ἐμπίπτω. —45°. ἀποθνήσκω.—46°. βιώσομεν, that is, We, the philosophers: ὁμοίως, *in like manner*, as if the laws existed.—47°. *in what.*

πεπαιδευμένοι τῶν ἀπαιδεύτων, ἔφη, Ὥπερ[48] οἱ δεδαμασμένοι ἵπποι τῶν ἀδαμάστων.—39. Ἐρωτηθεὶς, τίνα ἐστιν, ἃ δεῖ τοὺς παῖδας μανθάνειν, ἔφη, Οἷς ἄνδρες γενόμενοι χρήσονται.—40. Ἐρωτηθεὶς ὑπό τινος, τί[49] αὐτοῦ ὁ υἱὸς ἀμείνων ἔσται παιδευθεὶς, Καὶ εἰ μηδὲν ἄλλο, εἶπεν, ἐν γοῦν τῷ θεάτρῳ οὐ καθεδήσεται[50] λίθος ἐπὶ λίθῳ.[51]—41. Συνίσταντός τινος αὐτῷ υἱὸν, ᾔτησε[52] πεντακοσίας δραχμάς· τοῦ δὲ εἰπόντος, Τοσούτȣ[53] δύναμαι ἀνδράποδον ὠνήσασθαι. Πρίω,[54] ἔφη, καὶ ἕξεις δύο.[55]—42. Τοῦ θεράποντος ἐν ὁδῷ βαστάζοντος ἀργύριον, καὶ βαρυνομένȣ, Ἀπόχεε, ἔφη, τὸ πλέον, καὶ ὅσον δύνασαι βάσαζε.—43. Ἐρωτηθεὶς ὑπὸ Διονυσίου, διὰ τί οἱ μὲν φιλόσοφοι ἐπὶ τὰς τῶν πλουσίων θύρας ἔρχονται, οἱ δὲ πλούσιοι ἐπὶ τὰς τῶν φιλοσόφων οὐκέτι, ἔφη, Ὅτι οἱ μὲν ἴσασιν ὧν δέονται, οἱ δὲ οὐκ ἴσασι.—44. Διογένης ποτὲ λάχανα πλύνων Ἀρίσιππον παριόντα ἔσκωψε καὶ ἔφη· Εἰ ταῦτα[56] ἔμαθες προσφέρεσθαι, οὐκ ἂν τυράννων αὐλὰς ἐθεράπευες· ὁ δὲ, Καὶ σὺ, εἶπεν, εἴπερ ᾔδεις ἀνθρώποις ὁμιλεῖν, οὐκ ἂν λάχανα ἔπλυνες.[57]—45. Εἰς Κόρινθον αὐτῷ πλέοντί ποτε, καὶ χειμαζομένῳ, συνέβη ταραχθῆναι·[58] πρὸς οὖν τὸν εἰπόντα, Ἡμεῖς μὲν οἱ ἰδιῶται οὐ δεδοίκαμεν,[59] ὑμεῖς δὲ οἱ φιλόσοφοι δειλιᾶτε· Οὐ γὰρ[60] περὶ ὁμοίας, ἔφη, ψυχῆς ἀγωνιῶμεν ἕκαστοι.[61]

48°. *διαφέρουσι* understood.—49°. *in what*, Gram. § 131. 7. p. 265.—50°. *καθέζομαι*.—51°. The seats in the theatres were of stone.—52°. *αἰτέω*.—53°. *price* of a thing. Gram. § 132. 5. b). p. 269.—54°. *πρίαμαι*.—55°. *ἀνδράποδα* understood, viz. the purchased slave and the illiterate son.—56°. that is, the vegetables.—57°. Gram. § 140. 8. 4). p. 285.—58°. *ταρασσω*.—59°. *δείδω*. 60°. See above, 28. 36°. p. 59.—61°. that is, We the philosophers, and ye the unlearned.

Solon. Gorgias.

46. *Σόλων ἀποβαλὼν υἱὸν ἔκλαυσεν.*[62] *Εἰπόντος δέ τινος πρὸς αὐτὸν, ὡς οὐδὲν προὔργου ποιεῖ κλαίων, Δι' αὐτὸ γάρ*[63] *τοι τοῦτο, ἔφη, κλαίω.*—47. *Γοργίας ὁ Λεοντῖνος ἐρωτηθεὶς, ποίᾳ διαίτῃ χρώμενος εἰς μακρὸν γῆρας ἦλθεν, Οὐδὲν οὐδέποτε, ἔφη, πρὸς ἡδονὴν οὔτε φαγὼν, οὔτε*[64] *δράσας.*—48. *Γοργίας ἤδη γηραιὸς ὑπάρχων, ἐρωτηθεὶς, εἰ ἡδέως ἀποθνήσκοι,*[65] *Μάλιστα, εἶπεν· ὥσπερ γὰρ ἐκ σαπροῦ καὶ ῥέοντος οἰκιδίου ἀσμένως ἀπαλλάττομαι.*—49. *Ὁ αὐτὸς ἐπὶ τέρματι ὢν τοῦ βίου, ὑπ' ἀσθενείας καταληφθεὶς, κατ' ὀλίγον εἰς ὕπνον ὑπολισθαίνων ἔκειτο. Εἰ δέ τις αὐτὸν τῶν ἐπιτηδείων ἤρετο, τί πράττοι ;*[65] *ὁ Γοργίας ἀπεκρίνατο· Ἤδη με ὁ ὕπνος ἄρχεται παρακατατίθεσθαι τῷ ἀδελφῷ.*[66]

Pittacus. Xenophon.

50. *Πιττακὸς ἀδικηθεὶς ὑπό τινος καὶ ἔχων ἐξουσίαν αὐτὸν κολάσαι, ἀφῆκεν,*[67] *εἰπὼν, Συγγνώμη τιμωρίας ἀμείνων·*[68] *τὸ*[69] *μὲν γὰρ ἡμέρου φύσεως ἐστὶ, τὸ δὲ*[70] *θηριώδους.*—51. *Γρύλλος, ὁ Ξενοφῶντος υἱὸς, ἐν τῇ μάχῃ περὶ Μαντίνειαν ἰσχυρῶς ἀγωνισάμενος ἐτελεύτησεν. Ἐν ταύτῃ τῇ μάχῃ καὶ Ἐπαμινώνδας ἔπεσε.*[71]

62°. κλαίω.—63°. See 28. 36°. p. 59.—64°. On the multiplication of negatives, see Gram. § 149. 6. p. 307.—65°. Compare the optative with the subjunctive, above, 8. 9°. p. 57. and Gram. § 140. 3. p. 283.—66°. representing *Death* as the *brother* of *Sleep*.—67°. ἀφίημι.—68°. Gram. § 132. 4. e). and Rem. 2. p. 269.—69°. viz. τὸ συγγιγνώσκειν.—70. viz. τὸ τιμωρεῖσθαι.—71°. πίπτω.

Τηνικαῦτα δὴ καὶ τὸν Ξενοφῶντα φασὶ θύειν ἐστεμμένον.[72] *ἀπαγγελθέντος δὲ αὐτῷ τοῦ θανάτε τοῦ παιδὸς, ἀποστεφανώσασθαι· ἔπειτα μαθόντα ὅτι γενναίως,*[73] *πάλιν ἐπιθέσθαι*[74] *τὸν στέφανον. Ἔνιοι δὲ οὐδὲ δακρῦσαι φασὶν αὐτὸν, ἀλλὰ γὰρ, εἰπεῖν,*[75] *ᾔδειν θνητὸν γεγεννηκώς.*[76]

III. ANECDOTES OF POETS AND ORATORS.

52. *Ἀνακρέων δωρεὰν παρὰ Πολυκράτους λαβὼν πέντε τάλαντα, ὡς ἐφρόντισεν ἐπ᾽ αὐτοῖς δυοῖν νυκτοῖν*[1] *ἀπέδωκεν αὐτὰ, εἰπών· Μισῶ δωρεὰν ἥτις ἀναγκάζει ἀγρυπνεῖν.*—53. *Σιμωνίδης ἔλεγεν, ὅτι λαλήσας μὲν πολλάκις μετενόησε, σιωπήσας δὲ οὐδέποτε.*—54. *Αἰσχύλος ὁ τραγῳδὸς ἐκρίνετο ἀσεβείας*[2] *ἐπί τινι δράματι. Ἑτοίμων οὖν ὄντων Ἀθηναίων βάλλειν αὐτὸν λίθοις, Ἀμεινίας ὁ νεώτερος ἀδελφὸς, διακαλυψάμενος τὸ ἱμάτιον, ἔδειξε τὸν πῆχυν ἔρημον τῆς χειρός.*[3] *Ἔτυχε δὲ ἀριστεύων*[4] *ἐν Σαλαμῖνι ὁ Ἀμεινίας, ἀποβεβληκὼς τὴν χεῖρα, καὶ πρῶτος Ἀθηναίων τῶν ἀριστείων ἔτυχεν.*[5] *Επεὶ δὲ εἶδον οἱ δικασταὶ τοῦ ἀνδρὸς τὸ πάθος, ὑπεμνήσθησαν τῶν ἔργων αὐτοῦ, καὶ ἀφῆκαν τὸν Αἰσχύλον.*—55. *Φιλόξενος παραδοθεὶς ὑπὸ Διονυσίου εἰς τὰς λατομίας, διὰ τὸ φαυλίζειν τὰ ποιήματα αὐτοῦ, καὶ*

72°. *στέφω.*—73°. *ἀπέθανε* understood.—74°. *ἐπιτίθημι.*—75°. The construction is, *ἀλλὰ εἰπεῖν, ᾔδειν γὰρ* (compare above, 28. 36°. p. 59.) *θνητὸν γεγεννηκώς.*—76°. For this construction of the participle, see Gram. § 145. 4. p. 296.

1°. Polycrates, the tyrant of Samos, at whose court Anacreon lived; *νυκτῶν*, Gram. § 132. 3. b). (2). p. 267.—2°. He was accused of having betrayed the Eleusinian Mysteries, in one of his tragedies.—3°. *χειρὸς*, Gram. § 132. 4. b). p. 268.—4°. for *ἠρίστευσε.* Gram. § 145. Rem. 5. p. 297.—5°. *the first who gained a prize for bravery.*

ἀνακληθεὶς,[6] ἔπειτα πάλιν ἐπὶ τὴν ἀκρόασιν αὐτῶν ἐκλήθη. Μέχρι δέ τινος[7] ὑπομείνας, ἀνέστη. Πυθομένου δὲ τοῦ Διονυσίου, Ποῖ δὴ σύ;[8] Εἰς τὰς λατομίας, εἶπεν.—56. Σοφοκλῆς, ὁ τραγῳδοποιὸς ὑπὸ τοῦ Ἰοφῶντος τοῦ υἱέος ἐπὶ τέλει τοῦ βίȣ παρανοίας[9] κρινόμενος, ἀνέγνω[10] τοῖς δικαςαῖς Οἰδίπȣν τὸν ἐπὶ Κολωνῷ, ἐπιδεικνύμενος διὰ τοῦ δράματος, ὅπως τὸν νοῦν[11] ὑγιαίνεν· ὡς τȣ̀ς δικαστὰς τὸν μὲν ὑπερθαυμάσαι, καταψηφίσασθαι δὲ τοῦ υἱοῦ αὐτοῦ μανίαν.—57. Φιλήμων, ὁ κωμικὸς, ἑπτὰ πρὸς τοῖς ἐννενήκοντα ἔτη βιοὺς, κατέκειτο μὲν ἐπὶ κλίνης ἠρεμῶν· θεασάμενος δὲ ὄνον τὰ παρεσκευασμένα αὐτῷ[12] σῦκα κατεσθίοντα, ὥρμησε μὲν εἰς γέλωτα, καλέσας δὲ τὸν οἰκέτην, καὶ σὺν πολλῷ καὶ ἀθρόῳ γέλωτι εἰπὼν προςδοῦναι τῷ ὄνῳ ἀκράτȣ[13] ῥοφεῖν, ἀποπνιγεὶς ὑπὸ τοῦ γέλωτος ἀπέθανεν.—58. Φιλήταν λέγȣσι τὸν Κῶον λεπτότατον γενέσθαι τὸ σῶμα.[11] Ἐπεὶ τοίνυν ἀνατραπῆναι[14] ῥᾴδιος ην ἐκ πάσης προφάσεως, μολίβδου,[15] φασὶ, πεποιημένα εἶχεν ἐν τοῖς ὑποδήμασι πέλματα, ἵνα μὴ ἀνατρέποιτο ὑπὸ τῶν ἀνέμων, εἴ ποτε σκληροὶ κατέπνεον.—59. Φιλιππίδης ὁ κωμῳδοποιὸς, φιλοφρονουμένου τοῦ βασιλέως αὐτὸν Λυσιμάχου, καὶ λέγοντος, Τίνος σοὶ μεταδῶ τῶν ἐμῶν;[16] Οὗ[17] βούλει, φησὶν, ὦ βασιλεῦ, πλὴν τῶν ἀποῤῥήτων.—60. Ἰσοκράτης, ὁ ῥήτωρ, νεανίου τινὸς λάλου σχολάζειν αὐτῷ βουλομένου, διττοὺς ᾔτησε μισθούς. Τοῦ δὲ τὴν αἰτίαν

6°. ἀνακαλέω· ἔπειτα is inserted to give the *apodosis* greater force.—7°. χρόνου understood.—8°. *whither art thou* going?—9°. Gram. § 132. 4. c). p. 269.—10°. ἀναγιγνώσκω. The Oedipus Coloneus is among the tragedies of Sophocles still extant.—11°. Gram. § 131. 6. Rem. 2. p. 265.—12°. that is, for Philemon.—13°. οἴνου understood. It was the practice to drink undiluted (ἄκρατον) wine after eating.—14°. ἀνατρέπω.—15°. genitive of the material. Gram. § 132. 3. c). p. 268.—16°. πραγμάτων understood.—17°. Impart to me *of whatever.*

πυθομένου, Ἕνα,[18] ἔφη, μὲν,[19] ἵνα λαλεῖν μάθῃς, τὸν δ' ἕτερον, ἵνα σιγᾷν.—61. Λυσίας τινὶ δίκην ἔχοντι λόγον συγγράψας[20] ἔδωκεν· ὁ δὲ πολλάκις ἀναγνοὺς, ἧκε πρὸς τὸν Λυσίαν ἀθυμῶν καὶ λέγων, τὸ μὲν πρῶτον αὐτῷ διεξιόντι θαυμαστὸν φανῆναι τὸν λόγον, αὖθις δὲ καὶ τρίτον ἀναλαμβάνοντι παντελῶς ἀμβλὺν καὶ ἄπρακτον· ὁ δὲ Λυσίας γελάσας, Τί οὖν, εἶπεν, οὐχ ἅπαξ[21] μέλλεις λέγειν αὐτὸν ἐπὶ τῶν δικαστῶν;

IV. ANECDOTES OF PRINCES AND STATESMEN.

---

62. Ἐν φυγῇ τινι, τῆς ἀποσκευῆς Ἀρταξέρξου τοῦ Μνήμονος[1] διαρπαγείσης, ξηρὰ σῦκα καταφαγὼν καὶ κριθίνον ἄρτον, Οἵας, εἶπεν, ἡδονῆς ἄπειρος ἤμην. —63. Χαριέντως ὁ βασιλεὺς Ἀρχέλαος,[2] ἀδολέσχου κουρέως περιβαλόντος αὐτῷ τὸ ὠμόλινον, καὶ πυθομένου, Πῶς σε κείρω, βασιλεῦ; Σιωπῶν, ἔφη.—64. Ὁ νεώτερος Διονύσιος ἔλεγε πολλοὺς τρέφειν[3] σοφιστὰς, οὐ θαυμάζων ἐκείνους, ἀλλὰ δι' ἐκείνων θαυμάζεσθαι βουλόμενος.

Philip, king of Macedonia.

65. Φίλιππος ἔλεγε, κρεῖττον εἶναι στρατόπεδον ἐλάφων, λέοντος στρατηγοῦντος, ἢ λεόντων, ἐλάφου στρατηγοῦντος.—66. Φίλιππος, ὁ Ἀλεξάνδρου πατὴρ,

---

18°. μισθὸν αἰτέω understood.—19. μὲν...δ'. Gram. § 150. 1. p. 309. at bottom.—20°. The legal orators wrote speeches to be delivered by their clients, in court.—21°. that is, ἄρα πολλάκις, καὶ οὐχ ἅπαξ μόνον.

1°. Artaxerxes II, called Mnemon, from his good memory.—2°. King of Macedonia.—3°. Gram. § 142. 3). p. 290.

Ἀθηναίους μακαρίζειν ἔλεγεν, εἰ[4] καθ᾽ ἕκαστον ἐνιαυτὸν αἱρεῖσθαι δέκα στρατηγοὺς εὑρίσκουσιν· αὐτὸς[5] γὰρ ἐν πολλοῖς ἔτεσιν ἕνα μόνον στρατηγὸν εὑρηκέναι, Παρμενίωνα.—67. Φίλιππος ἐρωτώμενος, οὕστινας μάλιστα φιλεῖ, καὶ οὕστινας μάλιστα μισεῖ, Τοὺς μέλλοντας,[6] ἔφη, προδιδόναι μάλιστα φιλῶ, τοὺς δ᾽ ἤδη προδεδωκότας μάλιστα μισῶ.—68. Νεοπτόλεμον, τὸν τῆς τραγῳδίας ὑποκριτὴν, ἤρετό τις, τί θαυμάζοι τῶν ὑπ᾽ Αἰσχύλου λεχθέντων,[7] ἢ Σοφοκλέους, ἢ Εὐριπίδου; οὐδὲν μὲν τούτων, εἶπεν, ὃ δ᾽ αὐτὸς ἐθεάσατο ἐπὶ μείζονος σκηνῆς, Φίλιππον ἐν τοῖς τῆς θυγατρὸς Κλεοπάτρας γάμοις πομπεύσαντα καὶ τρισκαιδέκατον θεὸν ἐπικληθέντα, τῇ ἐξῆς[8] ἐπισφαγέντα ἐν τῷ θεάτρῳ, καὶ ἐῤῥιμμένον.[9]—69. Τριῶν Φιλίππῳ προσαγγελθέντων εὐτυχημάτων ὑφ᾽ ἕνα καιρὸν, πρώτου μὲν, ὅτι τεθρίππῳ νενίκηκεν Ὀλύμπια·[10] δευτέρου δὲ, ὅτι Παρμενίων ὁ στρατηγὸς μάχῃ Δαρδανεῖς ἐνίκησε· τρίτου δ᾽, ὅτι ἄῤῥεν αὐτῷ παιδίον ἀπεκύησεν Ὀλυμπιάς· ἀνατείνας ἐς οὐρανὸν τὰς χεῖρας, Ὦ δαῖμον, εἶπε, μέτριόν τι τούτοις ἀντίθες ἐλάττωμα! εἰδὼς ὅτι τοῖς μεγάλοις εὐτυχήμασι φθονεῖν πέφυκεν ἡ τύχη.—70. Ἐν Χαιρωνείᾳ τοὺς Ἀθηναίους μεγάλῃ νίκῃ ἐνίκησε Φίλιππος. Ἐπαρθεὶς[11] δὲ τῇ εὐπραγίᾳ, ᾤετο[12] δεῖν αὐτὸν ὑπομιμνήσκεσθαι,[13] ὅτι ἄνθρωπός ἐστιν, καὶ

4°. εἰ is used for ὅτι in cases like this. The Athenians chose ten commanders annually, not only to lead in war, but occasionally in civil affairs.—5°. rule of *Attraction*, Gram. § 143. 2. 1). p. 291.—6°. τοὺς μέλλοντας, *those that will betray me*, that is, *those who have not yet.* Philip referred to traitors among the nations with which he was at war, and regarding all his partisans in those nations as treacherous at heart, he made no distinction among them, but that in the text.—7°. τραγῳδίων understood.—8°. ἡμέρᾳ understood.—9°. ῥίπτω.—10°. νικᾷν Ὀλύμπια, ἀγωνίσματα understood, *to conquer in the Olympic games.*—11°. ἐπαίρω.—12°. οἴομαι or οἶμαι.—13°. *to be reminded.*

προσέταξέ τινι παιδὶ τοῦτο ἔργον ἔχειν. Τρὶς δὲ ἑκάστης ἡμέρας ὁ παῖς ἔλεγεν αὐτῷ· Φίλιππε, ἄνθρωπος εἶ.

Alexander.

71. Ὁ Ἀλέξανδρος Διογένει εἰς λόγους ἐλθὼν, οὕτως κατεπλάγη[14] τὸν βίον καὶ τὸ ἀξίωμα τοῦ ἀνδρὸς, ὥστε πολλάκις αὐτοῦ μνημονεύων λέγειν, Εἰ μὴ Ἀλέξανδρος ἤμην,[15] Διογένης ἂν ἤμην.[16]—72. Ἀλέξανδρος μόνον ἐκέλευε Λύσιππον εἰκόνας αὐτοῦ δημιουργεῖν· μόνος γὰρ οὗτος κατεμήνυε τῷ χαλκῷ τὸ ἦθος αὐτοῦ, καὶ συνεξέφερε τῇ μορφῇ τὴν ἀρετήν· οἱ δὲ ἄλλοι τὴν ἀποστροφὴν τοῦ τραχήλου, καὶ τῶν ὀμμάτων τὴν ὑγρότητα μιμεῖσθαι θέλοντες, οὐ διεφύλαττον αὐτοῦ τὸ ἀῤῥενωπὸν καὶ λεοντῶδες.—73. Ἀλέξανδρος Ἀναξάρχου[17] περὶ κόσμων απειρίας ἀκούων ἐδάκρυε, καὶ τῶν φίλων ἐρωτησάντων αὐτὸν, τί δακρύει, Οὐκ ἄξιον, ἔφη, δακρύειν, εἰ[18] κόσμων ὄντων ἀπείρων, ἑνὸς οὐδέπω κύριοι γεγόναμεν;

Successors of Alexander.

74. Πτολεμαῖόν φασι τὸν Λάγου,[19] καταπλουτίζοντα τοὺς φίλους αὐτοῦ ὑπερχαίρειν· ἔλεγε δὲ, ἄμεινον εἶναι πλουτίζειν ἢ πλουτεῖν.—75. Ἀντίγονος[20] πρός τινα μακαρίζουσαν αὐτὸν γραῦν, Εἰ ᾔδεις, ἔφη, ὦ μῆτερ,

---

14°. καταπλήσσω. See Gram. § 131. 6. p. 265. and § 134. 3. p. 272.—15°. for ἦν.—16. equivalent to εἶναι ἤθελον. For the construction, see Gram. § 140. 8. 4). p. 285.—17°. a philosopher.—18. εἰ for ὅτι. See above, 66. 4°. p. 66.—19°. υἱὸν understood; the first prince of the Ptolemæan family.—20°. a king in Asia, another of Alexander's successors.

ὅσων κακῶν μεστόν ἐστι τϐτὶ[21] τὸ ῥάκος, δείξας τὸ διάδημα, οὐκ ἂν ἐπὶ κοπρίας κείμενον αὐτὸ ἐϐάστασας.—76. Ἀντίγονος ὁ βασιλεὺς, ἐρωτήσαντος αὐτὸν τοῦ υἱοῦ, πηνίκα μέλλουσιν ἀναζευγνύειν, Τί δέδοικας,[22] εἶπε, μὴ μόνος οὐκ ἀκούσῃς τῆς σάλπιγγος;

Alexander of Pheræ.

77. Ἀλέξανδρος, ὁ Φεραίων τύραννος, θεώμενος τραγῳδὸν, ἐμπαθέςερον διετέθη πρὸς τὸν οἶκτον· ἀναπηδήσας οὖν ἐκ τοῦ θεάτρου ἀπιὼν ᾤχετο, δεινὸν εἶναι λέγων, εἰ[18] τοσούτους ἀποσφάξας πολίτας,[23] ὀφθήσεται τοῖς Ἑκάϐης καὶ Πολυξένης πάθεσιν ἐπιδακρύων.

Crœsus.

78. Ὅτε Κροῖσος ἦρχε Λυδῶν, τὸν ἀδελφὸν μεθ' αὑτοῦ κατέστησεν ἄρχοντα. Προσελθὼν δέ τις τῶν Λυδῶν, Ὦ βασιλεῦ, εἶπε, πάντων ἐπὶ γῆς καλῶν ὁ ἥλιος τοῖς ἀνθρώποις αἴτιός ἐστι, καὶ οὐδὲν ἂν εἴη τῶν ἐπὶ γῆς, μὴ[24] τοῦ ἡλίου ἐπιλάμποντος· ἀλλ' εἰ θέλϐσι δύο ἥλιοι γενέσθαι, κίνδυνος πάντα συμφλεχθέντα διαφθαρῆναι.[25] Οὕτως ἕνα μὲν βασιλέα δέχονται Λυδοὶ, καὶ σωτῆρα πιστεύουσιν εἶναι, δύο δὲ ἅμα οὐκ ἂν ἀνάσχοιντο.[26]

21°. τϐτί for τοῦτο, but with an expression of pointing to the thing; *this here*: Gram. § 80. 2. p. 93.—22°. The perfect δέδοικα has the signification of the present, (Gram. § 114. p. 214. ΔΕΙΩ) hence it is followed by the subjunctive and not by the optative.—23°. 'without emotion,' understood.—24°. μὴ is a conditional negative, Gram. § 149. 2. b). p. 306.—25°. διαφθείρω· κίνδυνος agrees with ἐστὶ understood.—26°. Gram. § 140. 11. p. 286.

Themistocles.

79. Θεμιστοκλῆς ἔτι μειράκιον ὢν ἐν πότοις ἐκυλινδεῖτο· ἐπεὶ δὲ Μιλτιάδης στρατηγῶν ἐνίκησεν ἐν Μαραθῶνι τοὺς βαρβάρους, οὐκ ἔτι ἦν[27] ἐντυχεῖν ἀτακτοῦντι Θεμιστοκλεῖ. Πρὸς δὲ τοὺς θαυμάζοντας τὴν μεταβολὴν ἔλεγεν, Οὐκ ἐᾷ με καθεύδειν, οὐδὲ ῥαθυμεῖν τὸ Μιλτιάδου τρόπαιον.—80. Ἐρωτηθεὶς δὲ, πότερον Ἀχιλλεὺς ἐβούλετ' ἂν εἶναι ἢ Ὅμηρος; Σὺ δὲ αὐτὸς, ἔφη, πότερον ἤθελες ὁ νικῶν ἐν Ὀλυμπιάσιν ἢ ὁ κηρύσσων τοὺς νικῶντας εἶναι;—81. Θεμιστοκλῆς πρὸς τὸν Εὐρυβιάδην τὸν Λακεδαιμόνιον ἔλεγέ τι ὑπεναντίον, καὶ ἀνέτεινεν αὐτῷ τὴν βακτηρίαν ὁ Εὐρυβιάδης. Ὁ δὲ, Πάταξον μὲν, ἔφη, ἄκουσον δέ. Ἤιδει[28] δὲ, ὅτι ἃ μέλλει λέγειν, τῷ κοινῷ[29] λυσιτελεῖ.—82. Σεριφίου τινὸς πρὸς αὐτὸν εἰπόντος, ὡς οὐ δι' αὐτὸν ἀλλὰ διὰ τὴν πόλιν ἔνδοξός ἐστιν, Ἀληθῆ λέγεις, εἶπεν, ἀλλ' οὔτ' ἂν ἐγὼ Σερίφιος ὢν ἐγενόμην ἔνδοξος, οὔτε σὺ,[30] Ἀθηναῖος.[31]—83. Πρὸς δὲ Σιμωνίδην[32] ἐξαιτούμενόν τινα κρίσιν οὐ δικαίαν, ἔφη, μήτ' ἂν ἐκεῖνον γενέσθαι[33] ποιητὴν ἀγαθὸν, ᾄδοντα παρὰ μέλος, μήτ' αὐτὸν ἄρχοντα χρηστὸν, δικάζοντα παρὰ τὸν νόμον.—84. Ἀπείκαζεν αὐτὸν ταῖς πλατάνοις, αἷς ὑποτρέχουσι[34] χειμαζόμενοι, γενομένης δὲ εὐδίας τίλλουσιν οἱ παρερχόμενοι καὶ κολούουσιν.

27°. for ἐξῆν, Gram. § 151. p. 315. ἔστιν.—28°. εἴδω.—29°. *the common cause.*—30°. ἔνδοξος ἐγένου ἂν understood.—31°. ὢν understood.—32°. the lyric poet.—33°. Gram. § 140. Rem. 2. p. 236. The ancient lyric poets chanted their own compositions, accompanying themselves on the lyre or harp.—34°. ἄνθρωποι understood.

Epaminondas.

85. Ἐπαμινώνδας ἕνα εἶχε τρίβωνα· εἰ δέ ποτε αὐτὸν ἔδωκεν εἰς γναφεῖον, αὐτὸς ὑπέμενεν οἴκοι δι᾽ ἀπορίαν ἑτέρου.—86. Ἐπαμινώνδας, ὁ Θηβαῖος, ἰδὼν στρατόπεδον μέγα καὶ καλὸν, στρατηγὸν οὐκ ἔχον, Ἡλίκον, ἔφη, θηρίον, καὶ κεφαλὴν οὐκ ἔχει.—87. Ἔλεγε[35] πρὸς Πελοπίδαν, μὴ πρότερον ἀπαλλάττεσθαι τῆς ἀγορᾶς[36] ἡμέρᾳ, πρὶν ἢ[37] φίλον τοῖς ἀρχαίοις τινὰ προσποριίσαι νεώτερον.—88. Τὸν Ἐπαμινώνδαν ὁ Σπίνθαρος ἐπαινῶν, ἔφη, μήτε πλείονα γιγνώσκοντι, μήτε ἐλάττονα φθεγγεμένῳ ῥᾳδίως ἐντυχεῖν ἑτέρῳ.

Pelopidas and other Commanders.

89. Πελοπίδας, ἀνδρείου στρατιώτου διαβληθέντος[38] αὐτῷ, ὡς βλασφημήσαντος αὐτὸν, Ἐγὼ τὰ μὲν ἔργα, ἔφη, αὐτοῦ βλέπω, τῶν δὲ λόγων οὐκ ἤκουσα.—90. Ἰφικράτης τὸ στράτευμα οὕτως ἔφασκε δεῖν συντετάχθαι,[39] ὡς ἓν σῶμα· θώρακα μὲν ἔχον τὴν φαλαγγα, χεῖρας δὲ τοὺς ψιλοὺς, πόδας δὲ τοὺς ἱππέας, κεφαλὴν δὲ τὸν στρατηγόν.—91. Ὁ Περικλῆς ἐν τῷ λοιμῷ τοὺς παῖδας ἀποβαλὼν, ἀνδρειότατα[40] τὸν θάνατον αὐτῶν ἤνεγκε, καὶ πάντας Ἀθηναίους ἔπεισε τοὺς τῶν φιλτάτων θανάτους εὐθυμότερον φέρειν.—92. Ὀδυρομένων τῶν μετὰ Φωκίωνος μελλόντων ἀποθνήσκειν, εἶπεν ὁ Φωκίων, Εἶτα[41] οὐκ ἀγαπᾷς, Θούδιππε, μετὰ Φωκίωνος ἀποθνήσκων.[42]

35°. *he advised.*—36°. All public and private business was transacted in the market-place: See Acts of the Apostles XVII. 17.—37°. Gram § 150. p. 310. πρίν.—38°. διαβάλλω.—39°. συντάσσω.—40°. Gram. § 115. 5. p. 231.—41°. εἶτα gives emphasis to the interrogation; we say in like manner in English, 'wouldst thou not *then* wish.'—42°. Gram. § 145. 4. a). p. 296.

UNIVERSITY OF CALIFORNIA

V. ANECDOTES OF SPARTANS.

93. Ἆγις ὁ βασιλεὺς ἔφη, τοὺς Λακεδαιμονίους μὴ ἐρωτᾷν, ὁπόσοι εἰσὶν, ἀλλὰ ποῦ εἰσὶν οἱ πολέμιοι; καὶ ἐρωτῶντός τινος, πόσοι εἰσὶ Λακεδοιμόνιοι, Ὅσοι,[1] ἔφη, ἱκανοὶ τοὺς κακοὺς ἀπερύκειν.—94. Δημάρατος, ἀνθρώπȣ τινὸς πονηροῦ κόπτοντος αὐτὸν ἀκαίροις ἐρωτήμασι, καὶ δὴ τοῦτο πολλάκις ἐρωτῶντος, τίς ἄριστος Σπαρτιατῶν, ἔφη, Ὁ σοὶ ἀνομοιότατος.—95. Πλειστώναξ, ὁ Παυσανίου, Ἀττικοῦ τινος ῥήτορος τοὺς Λακεδαιμονίους ἀμαθεῖς ἀποκαλοῦντος, Ὀρθῶς, ἔφη, λέγεις· μόνοι γὰρ τῶν Ἑλλήνων ἡμεῖς οὐδὲν κακὸν μεμαθήκαμεν παρ' ὑμῶν.—96. Ἀγησίπολις, ὁ Κλεομβρότου, εἰπόντος τινὸς, ὅτι Φίλιππος ἐν ὀλίγαις ἡμέραις Ὄλυνθον κατέσκαψε, Μὰ τοὺς θεοὺς, εἶπεν, ἄλλην τοιαύτην[2] ἐν πολλαπλασιονι χρόνῳ οὐκ οἰκοδομήσει.—97. Χαρίλαος ἐρωτηθεὶς διὰ τί τοὺς νόμους ὁ Λυκοῦργος οὕτως ὀλίγους ἔθηκεν, Ὅτι, ἔφη, τοῖς ὀλίγα λέγουσιν[3] ὀλίγων καὶ νόμων ἐστὶ χρεία.

98. Ἀθηναίου τινὸς πρὸς Ἀνταλκίδαν εἰπόντος, Ἀλλὰ μὴν ἡμεῖς ἀπὸ τοῦ Κηφισσοῦ[4] πολλάκις ὑμᾶς ἐδιώξαμεν, Ἡμεῖς δὲ οὐδέποτε, εἶπεν, ὑμᾶς ἀπὸ τοῦ Εὐρώτα.[4]—99. Ὁ αὐτὸς, σοφιστοῦ τινος μέλλοντος ἀναγιγνώσκειν ἐγκώμιον Ἡρακλέους, ἔφη, Τίς γὰρ αὐτὸν ψέγει;—100. Ἀρχίδαμος πρὸς τὸν[5] ἐπαινοῦντα

1°. *as many as*.—2°. πόλιν understood.—4°. ἀνθρώποις understood: the Lacedæmonians being trained up from youth to speak but little.—4°. The Cephissus and Eurotas were rivers respectively in the neighborhood of Athens and Sparta.—5°. See above, II. 2. 3°. p. 56.

κιθαρῳδὸν, καὶ θαυμάζοντα τὴν δύναμιν αὐτοῦ, Ὦ λῷστε, ἔφη, ποῖον γέρας παρὰ σοῦ τοῖς ἀγαθοῖς ἀνδράσιν ἔσται, ὅταν κιθαρῳδὸν οὕτως ἐπαινῇς.[6]—101. Ταῖς θυγατράσιν αὐτοῦ ἱματισμὸν πολυτελῆ Διονυσίου τοῦ τυράννου Σικελίας πέμψαντος, οὐκ ἐδέξατο,[7] εἰπὼν, Φοβοῦμαι μὴ[8] περιθέμεναι[9] αἱ κόραι φανῶσί μοι αἰσχραί.[10]—102. Ἀρχίδαμος, ὁ Ἀγησιλάου, καταπελτικὸν βέλος ἰδὼν τότε[11] πρώτως ἐκ Σικελίας κομισθὲν, ἀνεβόησεν, Ὦ Ἡράκλεις, ἀπόλωλεν ἀνδρὸς ἀρετά.[12]

103. Ἀγησίλαος παρακαλούμενός ποτε ἀκοῦσαι τοῦ τὴν ἀηδόνα μιμουμένου, παρῃτήσατο φήσας· Αὐτῆς[13] ἀκήκοα πολλάκις.—104. Κατηγοροῦσιν οἱ Λακεδαιμόνιοι Ἀγησιλάου τοῦ βασιλέως, ὡς ταῖς συνεχέσι καὶ πυκναῖς εἰς τὴν Βοιωτίαν ἐμβολαῖς καὶ στρατείαις τοὺς Θηβαίους ἀντιπάλους τοῖς Λακεδαιμονίοις κατασκευάσαντος.[13] Διὸ καὶ τετρωμένον[14] αὐτὸν ἰδὼν ὁ Ἀνταλκίδας, Καλὰ, ἔφη, τὰ διδασκάλια παρὰ Θηβαίων ἀπολαμβάνεις, μὴ βουλομένους αὐτοὺς, μήδ' εἰδότας μάχεσθαι διδάξας.—105. Ἀνὴρ εἰς Λακεδαίμονα ἀφίκετο Κεῖος, γέρων ἤδη, ὢν, τὰ μὲν ἄλλα[15] ἀλαζὼν, ᾐδεῖτο[16] δὲ ἐπὶ τῷ γήρᾳ, καὶ διὰ ταῦτα τὴν τρίχα, πολιὰν οὖσαν, ἐπειρᾶτο βαφῇ ἀφανίζειν· παρελθὼν οὖν εἶπεν ἐκεῖνα ὑπὲρ ὧν καὶ[17] ἀφίκετο. Ἀναστὰς οὖν ὁ Ἀρχίδαμος, ὁ τῶν Λακεδαιμονίων βασιλεὺς, Τί δ' ἂν, ἔφη, οὗτος ὑγιὲς εἴποι, ὃς οὐ μόνον ἐπὶ τῇ ψυχῇ τὸ ψεῦδος, ἀλλὰ καὶ ἐπὶ τῇ κεφαλῇ περιφέρει;

6°. Gram. § 140. 7. p. 284.—7°. τὰς θυγατρὰς understood.—8°. Gram. § 149. 4. p. 306.—9°. *the clothing*, understood.—10°. that is, from the contrast with the beauty of the garment.—11°. *then, for the first time.*—12°. for ἀρετὴ, according to the Doric dialect, which dialect the Spartans used. Gram. § 26. Rem. 5. p. 28.—13°. Gram. § 146. Rem. 5. p. 299.—14°. τιτρώσκω.—15°. Gram. § 151. p. 313. τά τε ἄλλα.—16°. for αἰδούμενος.—17°. καὶ is often thus used after the relative, giving a kind of emphasis, and not to be imitated in a literal version.

106. Ἔλεγεν ὁ Κλεομένης, ὁ τῶν Λακεδαιμονίων βασιλεὺς, κατὰ τὸν ἐπιχώριον τρόπον,[18] τὸν Ὅμηρον Λακεδαιμονίων εἶναι ποιητὴν, ὡς χρὴ πολεμεῖν λέγοντα, τὸν δὲ Ἡσίοδον τῶν Εἱλώτων,[19] λέγοντα, ὡς χρὴ γεωργεῖν.—107. Λυκοῦργος, ὁ Λακεδαιμόνιος, πηρωθεὶς ὑπό τινος τῶν πολιτῶν ὀφθαλμῶν τὸν ἕτερον,[20] καὶ παραλαβὼν τὸν νεανίσκον[21] παρὰ τοῦ δήμου, ἵνα τιμωρήσαιτο, ὅπως αὐτὸς βούληται, τούτου[22] μὲν ἀπέσχετο, παιδεύσας δὲ αὐτὸν, καὶ ἀποφήνας ἄνδρα ἀγαθὸν, παρήγαγεν εἰς τὸ θέατρον.[23] Θαυμαζόντων δὲ τῶν Λωκεδαιμονίων, Τοῦτον μέντοι λαβὼν, ἔφη, παρ' ὑμῶν ὑβριστὴν καὶ βίαιον, ἀποδίδωμι ὑμῖν ἐπιεικῆ καὶ δημοτικόν.—108. Περσῶν τὴν Ἑλλάδα λεηλατούντων, Παυσανίας, ὁ τῶν Λακεδαιμονίων στρατηγὸς, ἀπὸ Ξέρξου πεντακόσια τάλαντα χρυσίου λαβὼν, ἔμελλε προδιδόναι τὴν Σπάρτην. Τῶν δὲ ἐπιστολῶν μεσολαβηθεισῶν,[24] Ἡγησίλαος, ὁ πατὴρ τοῦ προειρημένου, περὶ τῶν συμβεβηκότων ἀκούσας,[25] τὸν υἱὸν μέχρι τοῦ ναοῦ τῆς χαλκιοίκου[26] συνεδίωκεν Ἀθηνᾶς, καὶ τὰς θύρας τοῦ τεμένους πλίνθοις ἐμφράξας, μετὰ τῆς γυναικὸς τὴν εἴσοδον ἐφρούρησε, καὶ λιμῷ τὸν προδότην ἀνεῖλεν,[27] ὃν ἡ μήτηρ ἀείρασα ὑπὲρ τοὺς ὅρους ἔῤῥιψεν.

109. Ὁ Βρασίδας μῦν τινα συλλαβὼν ἐν ἰσχάσι, καὶ

18°. that is, with laconic brevity and point.—19°. The Helots were slaves of the Spartans, and tilled the lands. The reference is here to the poem of Hesiod on husbandry, entitled *Works and Days*.—20°. Gram. § 134. Rem. 3. p. 272.—21°. who had deprived Lycurgus of his eye.—22°. that is, τοῦ τιμωρήσασθαι.—23°. where the people was used to assemble.—24°. μεσολαβέω.—25°. συμβαίνω· *hearing of these circumstances.*—26°. Minerva, under the epithet of χαλκίοικος, had a temple of brass at Sparta, which enjoyed the privilege of asylum.—27°. ἀναιρέω· a traitor could not be buried in his native land.

δηχθεὶς,[28] ἀφῆκεν· εἶτα πρὸς ἑαυτὸν, Ὦ Ἡράκλεις, ἔφη, ὡς οὐδέν ἐστιν οὕτω μικρὸν, οὐδ' ἄσθενες, ὃ μὴ ζήσεται, τολμῶν ἀμύνασθαι!—110. Ὁ *Λεωνίδης*, ὁ *Λακεδαιμόνιος*, καὶ οἱ σὺν αὐτῷ τριακόσιοι, τὸν μαντευόμενον αὐτοῖς θάνατον εἵλοντο ἐν *Πύλαις*,[29] καὶ ὑπὲρ τῆς Ἑλλάδος εὖ καὶ καλῶς ἀγωνισάμενοι τέλους ἔτυχον εὐκλεοῦς, καὶ δόξαν ἑαυτοῖς ἀθάνατον ἀπέλιπον, καὶ φήμην ἀγαθὴν δι' αἰῶνος.—111. *Λέγοντός τινος*, ἀπὸ τῶν ὀϊστευμάτων τῶν βαρβάρων[30] οὐδὲ τὸν ἥλιον ἰδεῖν ἔστιν,[31] Οὐκοῦν, ἔφη, χαρίεν, εἰ ὑπὸ σκιὰν αὐτοῖς μαχεσόμεθα.—112. *Βουλόμενος* ἤδη τοῖς πολεμίοις ἐπιτίθεσθαι, τοῖς στρατιώταις παρήγγειλεν, ἀριστοποιεῖσθαι, ὡς ἐν ᾅδου δειπνοποιησομένους.[32]

Spartan Women.

113. *Αἱ Λακεδαιμονίων* μητέρες, ὅσαι ἐπυνθάνοντο τοὺς παῖδας αὐτῶν ἐν τῇ μάχῃ κεῖσθαι, αὐταὶ ἀφικόμεναι τὰ τραύματα αὐτῶν ἐπεσκόπουν, τά τε ἔμπροσθεν,[33] καὶ τὰ ὄπισθεν.[33] Καὶ, εἰ ἦν πλείω τὰ ἐναντία,[34] αἵδε γαυρούμεναι τοὺς παῖδας εἰς τὰς πατρῴας ἔφερον ταφάς· εἰ δὲ ἑτέρως εἶχον τῶν τραυμάτων,[35] ἐνταῦθα αἰδούμεναι καὶ θρηνοῦσαι, καὶ, ὡς ἔνι μάλιστα,[36] λαθεῖν σπεύδουσαι ἀπηλλάττοντο, καταλιποῦσαι τοὺς νεκροὺς[37] ἐν τῷ πολυανδρίῳ θάψαι, ἢ λάθρα εἰς τὰ οἰκεῖα ἠρία ἐκόμιζον

28°. δάκνω.—29°. Thermopylæ, so called from its warm saline springs, where Leonidas and his band met the Persians.—30°. *the Persians.* The Greeks called all foreign nations barbarians.—31°. Gram. § 151. p. 315. under ἔστιν.—32°. *as being to sup.* Gram. § 146. Rem. 5. p. 299. The participle often follows ὡς in this manner, in the accusative case, without agreeing in case with the noun to which it refers.—33°. ὄντα understood. —34°. *on the breast.*—35°. instead of εἰ δὲ τὰ αὐτῶν τραύματα ἑτέρως εἶχεν. Gram. § 151. p. 315. ἔχειν.—36°. Gram § 151. p. 315. under ὡς ἔνι.—37°. ὥστε is here to be supplied. Gram. § 141. 4. p. 269.

αὐτούς—114. Λάκαινα γυνὴ, τοῦ υἱοῦ αὐτῆς ἐν παρατάξει χωλωθέντος καὶ δυςφοροῦντος ἐπὶ τούτῳ, Μὴ λυποῦ, τέκνον, εἶπε· καθ᾽ ἕκαστον γὰρ βῆμα τῆς ἰδίας ἀρετῆς ὑπομνησθήσῃ.[38]—115. Γοργὼ, ἡ Λακεδαιμονία, Λεωνίδου γυνὴ, τοῦ υἱοῦ αὐτῆς ἐπὶ στρατείαν πορευομένου, τὴν ἀσπίδα ἐπιδιδοῦσα, εἶπεν· Ἢ ταύταν[39] ἢ ἐπὶ ταύτᾳ.[39]—116. Εἰπούσης τινὸς, ὡς ἔοικε, ξένης πρὸς Γοργὼ, τὴν Λεωνίδου γυναῖκα, ὡς Μόναι τῶν ἀνδρῶν[40] ἄρχετε ὑμεῖς αἱ Λάκαιναι, Μόναι γὰρ,[41] ἔφη, τίκτομεν ἄνδρας.

117. Ἡ Βρασίδου μήτηρ, Ἀργιλεωνὶς, ὡς ἀφικόμενοί τινες εἰς Λακεδαίμονα τῶν ἐξ Ἀμφιπόλεως[42] εἰςῆλθον πρὸς αὐτὴν, ἠρώτησεν, εἰ καλῶς ὁ Βρασίδας ἀπέθανε, καὶ τῆς Σπάρτης ἀξίως; Μεγαλυνόντων δὲ ἐκείνων τὸν ἄνδρα, καὶ λεγόντων, ὡς οὐκ ἔχει τοιοῦτον ἄλλον ἡ Σπάρτη, Μὴ λέγετε,[43] εἶπεν, ὦ ξένοι· καλὸς μὲν γὰρ ἦν καὶ ἀγαθὸς ὁ Βρασίδας, πολλοὺς δ᾽ ἄνδρας ἡ Λακεδαίμων ἔχει κείνου κρείττονας.—118. Λάκαινά τις ἐκπέμψασα τοὺς υἱοὺς αὐτῆς πέντε ὄντας ἐπὶ πόλεμον, ἐν τοῖς προαστείοις[44] εἱστήκει, καραδοκοῦσα, τί ἐκ τῆς μάχης ἀποβήσοιτο·[45] ὡς δὲ παραγενόμενός τις πυθομένης[46] ἀπήγγειλε, τοὺς παῖδας ἅπαντας τετελευτηκέναι, Ἀλλ᾽ οὐ τοῦτο ἐπυθόμην, εἶπε, κακὸν ἀνδράποδον, ἀλλὰ τί πράσσει ἡ πατρίς. Φήσαντος[47] δὲ, ὅτι νικᾷ, Ἀσμένη,[48] τοίνυν, εἶπε, δέχομαι[49] καὶ τὸν τῶν παίδων θάνατον.

38°. ὑπομιμνήσκω.—39°. Doric, instead of ταύτην and ταύτῃ. Gram. § 26. Rem. 5. p. 28. *Either* bring *this* back, *or* come back slain *upon it.*—40°. Gram. § 132. 4. c). p. 269.—41°. See above, 28. 36°. p. 59.—42°. *of the inhabitants of Amphipolis*, where Brasidas fell in the Peloponnesian war.—43°. τοῦτο understood.—44°. *in the suburb.*—45°. the optative mode, *in sermone obliquo*, Gram. § 140. 3. p. 283.—46°. αὐτῆς understood.—47°. αὐτοῦ understood.—48°. equivalent to ἀσμένως.—49°. *hear of.*

119. *Λακὼν* τρωθεὶς[50] ἐν πολέμῳ, καὶ βαδίζειν ου δυνάμενος, τετραποδιστὶ ὥδευεν· αἰσχυνομένῳ δ᾽ αὐτῷ ἐπὶ τῷ γελοίῳ, ἡ μήτηρ, Καὶ πόσῳ βέλτιον,[51] ὦ τέκνον, εἶπε, μᾶλλον ἐπὶ τῇ ἀνδρείᾳ γεγηθέναι ἢ αἰσχύνεσθαι ἐπὶ γέλωτι ἀνοήτῳ!—120. Σεμνυνομένης γυναικός τινος Ἰωνικῆς[52] ἐπί τινι τῶν ἑαυτῆς ὑφασμάτων ὄντι πολυτελεῖ, *Λάκαινα* ἐπιδείξασα τὰς τέσσαρας υἱὰς ὄντας κοσμιωτάτας τοιαῦτα ἔφη δεῖν εἶναι τὰ τῆς καλῆς καὶ ἀγαθῆς γυναικὸς ἔργα, καὶ ἐπὶ τούτοις ἐπαίρεσθαι καὶ μεγαλαυχεῖν.—121. *Γοργὼ*, ἡ βασιλέως Κλεομένους θυγάτηρ, Ἀρισταγόρου του Μιλησίου παρακαλοῦντος αὐτὸν[53] ἐπὶ τὸν πρὸς βασιλέα[54] πόλεμον ὑπὲρ Ἰώνων, ὑπισχνουμένου χρημάτων πλῆθος, καὶ ὅσῳ[55] ἀντέλεγε, πλείονα προστιθέντος, Καταφθερεῖ σε, ὦ πάτερ, ἔφη, τὸ ξενύλλιον, ἐὰν μὴ τάχιον[56] αὐτὸν τῆς οἰκίας ἐκβάλῃς.—122. Τὸν δὲ Ἀρισταγόραν ὑπό τινος τῶν οἰκετῶν ὑποδούμενον θεασαμένη, Πάτερ, ἔφη, ὁ ξένος χεῖρας οὐκ ἔχει.

VI. MISCELLANEOUS ANECDOTES.

123. Ὁ *Ζεῦξις*, αἰτιωμένων αὐτὸν τινῶν, ὅτι ζωγραφεῖ βραδέως, Ὁμολογῶ, εἶπεν, ἐν πολλῷ χρόνῳ γράφειν, καὶ γὰρ[1] εἰς πολύν.[2]—124. Οἱ ἔφοροι[3] Ναυκλείδην, τὸν Πολυξιάδου, ὑπερσαρκοῦντα τῷ σώματι, καὶ ὑπέρπαχυν

50°. τιτρώσκω.—51°. ἐστὶ understood.—52°. The Ionians were remarked for their effeminacy and love of show.—53°. Cleomenes.—54°. the king of Persia, Darius, see above, 29. 39°. p. 60.—55°. that is, ὅσῳ πλείονα ἐκεῖνος ἀντέλεγε, τόσῳ.—56°. τάχιον, the comparative instead of the positive or the superlative ὡς τάχιστα.

1°. *Etenim*, see above, 28. 36°. p. 59.—2°. χρόνον γράφω understood.—3°. Spartan magistrates, so called, charged with the preservation of the constitution and the censorship of manners.

διὰ τρυφὴν γενόμενον, εἰς τὴν ἐκκλησίαν κατήγαγον, καὶ ἠπείλησαν αὐτῷ φυγῆς προστίμησιν, ἐὰν μὴ τὸν βίον, ὃν ἐβίου τότε, τοῦ λοιποῦ[4] μεθαρμόσηται· φέρειν γὰρ αὐτοῦ τὸ εἶδος καὶ τὴν τοῦ σώματος διάθεσιν αἰσχύνην, καὶ τῇ Λακεδαίμονι, καὶ τοῖς νόμοις.—125. Δημάδης, ὁ ῥήτωρ, ληφθεὶς[5] αἰχμάλωτος ἐν τῇ κατὰ Χαιρώνειαν μάχῃ ὑπὸ Φιλίππου, καὶ συσταθεὶς[6] αὐτῷ, ἐκείνου παρὰ πότον σεμνυνομένου,[7] ποῦ ἡ εὐγένεια καὶ ὑπεροχὴ τῆς Ἀθηναίων πόλεως, Ἔγνως ἄν, ἔφη, τὴν τῆς πόλεως δύναμιν, εἰ Ἀθηναίων[8] μὲν Φίλιππος Μακεδόνων δὲ Χάρης ἐστρατήγει.

126. Σιμωνίδης ὁ τῶν μελῶν ποιητὴς, Παυσανίου τοῦ βασιλέως[9] τῶν Λακεδαιμονίων μεγαλαυχουμένου συνεχῶς ἐπὶ ταῖς αὑτοῦ πράξεσι, καὶ κελεύοντος ἐπαγγεῖλαί τι αὐτῷ σοφὸν μετὰ χλευασμοῦ,[10] συνεὶς αὐτοῦ τὴν ὑπερηφανίαν, συνεβούλευε μεμνῆσθαι, ὅτι ἄνθρωπός ἐστιν.—127. Θηραμένης ὁ γενόμενος Ἀθήνησι τῶν τριάκοντα τυράννων, συμπεσούσης τῆς οἰκίας ἐν ᾗ μετὰ πλειόνων ἐδείπνει, μόνος σωθεὶς, καὶ πρὸς πάντων εὐδαιμονιζόμενος, ἀναφωνήσας μεγάλῃ τῇ φωνῇ, Ὦ τύχη, εἶπεν, εἰς τίνα με καιρὸν ἄρα φυλάττεις; μετ᾽ οὐ πολὺν δὲ χρόνον καταστρεβλωθεὶς ὑπὸ τῶν συντυράννων ἐτελεύτησεν.

128. Μενεκράτους τοῦ ἰατροῦ, ἐπεὶ κατατυχὼν ἔν τισιν ἀπεγνωσμέναις[11] θεραπείαις Ζεὺς ἐπεκλήθη,[12] φορτικῶς ταύτῃ χρωμένου τῇ προσωνυμίᾳ, καὶ δὴ πρὸς

4°. χρόνου understood, *henceforward.*—5°. λαμβάνω.—6°. συνίστημι.—7°. καὶ λέγοντος understood, these words in effect being included in σεμνυνομένου.—8°. genitive governed by verbs of *commanding*. Gram. § 132.4. c). p. 269.—9°. Pausanias was strictly a general, and guardian of the king, a minor.—10°. The construction is, κελεύοντος μετὰ χλευασμοῦ. See above, 70. p. 66. for the sentiment.—11°. ἀπογιγνώσκω, *in some desperate cures ;* as is also said in English, instead of cures of desperate maladies.—12°. ἐπικαλέω.

τὸν Ἀγησίλαον ἐπιστεῖλαι τολμήσαντος οὕτω, Μενεκράτης Ζεὺς βασιλεῖ Ἀγησιλάῳ χαίρειν· οὐκ ἀναγνὸς τὰ λοιπὰ ἀντέγραψε, Βασιλεὺς Ἀγησίλαος Μενεκράτει ὑγιαίνειν.—129. Μενεκράτης, ὁ ἰατρὸς, εἰς τοσοῦτον προῆλθε τύφου,[13] ὥςτε ἑαυτὸν ὀνομάζειν Δία. Εἱστία ποτὲ μεγαλοπρεπῶς ὁ Φίλιππος,[14] καὶ δὴ καὶ τοῦτον ἐπὶ θοίνην ἐκάλεσε, καὶ ἰδίᾳ κλίνην αὐτῷ ἐκέλευσε παρεσκευάσθαι, καὶ κατακλιθέντι θυμιατήριον παρέθηκε, καὶ ἐθυμιᾶτο αὐτῷ· οἱ δὲ λοιποὶ εἱστιῶντο, καὶ ἦν μεγαλοπρεπὲς τὸ δεῖπνον. Ὁ τοίνυν Μενεκράτης τὰ μὲν πρῶτα[15] ἐνεκαρτέρει, καὶ ἔχαιρε τῇ τιμῇ· ἐπεὶ δὲ κατὰ μικρὸν[16] ὁ λιμὸς περιῆλθεν αὐτὸν, καὶ ἠλέγχετο, ὅτι ἦν ἄνθρωπος, καὶ ταῦτα[17] εὐήθης, ἐξαναστὰς ἀπιὼν ᾤχετο,[18] καὶ ἔλεγεν ὑβρίσθαι, ἐμμελῶς πάνυ τοῦ Φιλίππου τὴν ἄνοιαν αὐτοῦ ἐκκαλύψαντος.

130. Θράσυλλός τις παράδοξον ἐνόσησε μανίαν. Ἀπολιπὼν γὰρ τὸ ἄστυ,[19] καὶ κατελθὼν εἰς τὸν Πειραιᾶ, καὶ ἐνταῦθα οἰκῶν, τὰ πλοῖα τὰ καταίροντα ἐν αὐτῷ πάντα ἑαυτοῦ ἐνόμιζεν εἶναι, καὶ ἀπεγράφετο αὐτὰ, καὶ αὖ πάλιν ἐξέπεμπε, καὶ τοῖς περισωζομένοις καὶ εἰςιοῦσιν εἰς τὸν λιμένα ὑπερέχαιρε. Χρόνους δὲ διετέλεσε[20] πολλοὺς συνοικῶν[21] τῷ ἀῤῥωστήματι τούτῳ. Ἐκ Σικελίας δὲ ἀναχθεὶς[22] ὁ ἀδελφος αὐτοῦ, παρέδωκεν αὐτὸν ἰατρῷ ἰάσασθαι, καὶ ἐπαύσατο[23] τῆς νόσου οὕτως. Ἐμέμνητο[24] δὲ πολλάκις τῆς ἐν μανίᾳ διατριβῆς καὶ ἔλεγε, μηδέποτε ἡσθῆναι[25] τοσοῦτον, ὅσον τότε

13°. *to such a degree of conceit.* Gram. § 132. 3. (3). p. 267.—14°. king of Macedonia.—15°. *at first.*—16°. *by degrees.*—17°. Gram. § 151. p. 314. καὶ ταῦτα.—18°. *departed*; see Lexicon.—19°. of Athens.—20°. διατελεῖν, with the participle, Gram. § 145. Rem. 5. p. 297.—21°. equivalent to ἔχων τὸ ἀῤῥώστημα or οὕτως ἀῤῥωστῶν.—22°. ἀνάγω.—23. ὁ Θράσυλλος understood.—24°. μιμνήσκω.—25°. ἥδομαι.

ἥδετο ἐπὶ ταῖς μηδὲν αὐτῷ προσηκούσαις ναυσὶν ἀποσωζομέναις.—131. Τίμων, ὁ μισάνθρωπος, εὐημερήσαντα ἰδὼν τὸν Ἀλκιβιάδην, καὶ προπεμπόμενον ἀπὸ τῆς ἐκκλησίας ἐπιφανῶς, οὐ παρῆλθεν, οὐδ' ἐξέκλινεν, ὥσπερ εἰώθει τοὺς ἄλλους,[26] ἀλλ' ἀπαντήσας καὶ δεξιωσάμενος, Εὖ γ', ἔφη, ποιεῖς αὐξόμενος, ὦ παῖ· μέγα γὰρ αὔξῃ κακὸν ἅπασι τούτοις.[27]

132. Σώστρατος, ὁ αὐλητὴς, ὀνειδιζόμενος ὑπό τινος ἐπὶ τῷ[28] γονέων ἀσήμων εἶναι, εἶπε, Καὶ μὴν διὰ τοῦτο ὤφειλον μᾶλλον θαυμάζεσθαι, ὅτι ἀπ' ἐμοῦ τὸ γένος ἄρχεται.—133. Ψάλτης Ἀντιγόνῳ[29] ἐπεδείκνυτο· τοῦ δὲ βασιλέως πολλάκις λέγοντος, Τὴν νήτην ἐπίσφιγξον, εἶτα πάλιν, Τὴν μέσην, ὅδε ἀγανακτήσας, ἔφη· Μὴ γένοιτό σοι οὕτω κακῶς, ὦ βασιλεῦ, ὡς ἐμοῦ[30] ταῦτα ἀκριβοῦν μᾶλλον.

134. Ἡ Φωκίωνος γυνὴ ἐρωτηθεῖσα, διὰ τί μόνη τῶν ἄλλων ἐν συνόδῳ οὐ φορεῖ χρυσοῦν κόσμον, ἔφη, Ὅτι αὐτάρκης κόσμος μοι ἐστιν ἡ τοῦ ἀνδρὸς ἀρετή.—135. Θεανὼ, ἡ Πυθαγορικὴ φιλόσοφος, ἐρωτηθεῖσα, τί πρέπον εἴη γυναικὶ, Τὸ τῷ ἰδίῳ, ἔφη, ἀρέσκειν ἀνδρί.—136. Στρατονίκη, ἡ Σελεύκου γυνὴ φαλακρὰ οὖσα, τοῖς ποιηταῖς ἀγῶνα προὔθηκε[31] περὶ ταλάντου,[32] ὅστις ἂν ἄμεινον ἐπαινέσαι αὐτῆς τὴν κόμην.

26°. παρελθεῖν καὶ ἐκκλίνειν.—27°. *all these*, who now surround and admire thee.—28°. ἐπὶ τῷ εἶναι, *for being*. Gram. § 141. 5. p. 289.—29°. king of Asia.—30°. comparative degree, § 132. 4. e). p. 269.—31°. that is, προέθηκε.—32°. *in which the prize was a talent.*

NATURAL HISTORY.

Syrian Sheep.

1. Ἐν τῇ Συρίᾳ τὰ πρόβατα τὰ οὐρὰς ἔχει τὸ πλάτος[1] πήχεως, τὰ δὲ ὦτα αἱ αἶγες σπιθαμῆς καὶ παλαιστῆς· καὶ ἔνιαι συμβάλλουσι τὰ ὦτα κάτω ἀλλήλοις.

The Elephant.

2. Ὀῤῥωδεῖ ὁ ἐλέφας κεράστην κριὸν καὶ χοίρου βοήν. Οὕτω τοίνυν, φασὶ,[2] καὶ Ῥωμαῖοι τοὺς σὺν Πύῤῥῳ τῷ Ἠπειρώτῃ[3] ἐτρέψαντο ἐλέφαντας, καὶ ἡ νίκη σὺν τοῖς Ῥωμαίοις λαμπρῶς ἐγένετο.—3. Τῷ ἐλέφαντι ὁ μυκτὴρ ἐστι μακρὸς καὶ ἰσχυρός· καὶ χρῆται αὐτῷ ὥςπερ χερί· λαμβάνει γὰρ τούτῳ, καὶ εἰς τὸ στόμα προςφέρεται τὴν τροφὴν, καὶ τὴν ὑγρὰν καὶ τὴν ξηρὰν, μόνον τῶν ζώων.[4]—4. Οἱ ἐλέφαντες μάχονται σφοδρῶς πρὸς ἀλλήλους, καὶ τύπτουσι τοῖς ὀδοῦσι σφᾶς αὐτούς· ὁ δὲ ἡττηθεὶς δουλοῦται, καὶ οὐχ ὑπομένει τὴν τοῦ νικήσαντος φωνήν. Διαφέρουσι δὲ καὶ τῇ ἀνδρείᾳ οἱ ἐλέφαντες θαυμαστὸν ὅσον.[5]

5. Οἱ ἐλέφαντες ζῶσιν ἔτη πλείω τῶν διακοσίων.[6] Τῶν δὲ Λιβυκῶν[6] οἱ Ἰνδικοὶ μείζους τέ εἰσιν καὶ ῥωμαλεώτεροι. Ταῖς γοῦν προβοσκίσιν ἐπάλξεις καθαιροῦσι,

---

1°. Gram. § 131. 6. p. 265.—2°. ἄνθρωποι understood.—3°. ὄντας understood, *which were* in the army, *with Pyrrhus*, king *of Epirus*.—4°. *alone of all animals*.—5°. *to admiration*, Gram. § 151. p. 313. ὅσος.—6°. Comparative degree governs the genitive.

καὶ δένδρα ἀνασπῶσι πρόῤῥιζα, διανιστάμενοι εἰς τοὺς ὀπισθίους πόδας. Τοσοῦτον δέ εἰσιν εὐτιθάσσευτοι καὶ θυμόσοφοι, ὥστε καὶ λιθάζειν ἐπὶ σκοπὸν μανθάνουσι, καὶ ὅπλοις χρῆσθαι, καὶ νεῖν.—6. Ἐν Ῥώμῃ ποτὲ πολλῶν ἐλεφάντων προδιδασκομένων στάσεις τινὰς ἵστασθαι[7] παραβόλους, καὶ κινήσεις δυσελίκτους ἀνακυκλεῖν,[8] εἷς ὁ δυσμαθέστατος αὐτῶν, ἀκούων κακῶς ἑκάστοτε,[9] καὶ κολαζόμενος πολλάκις, ὤφθη νυκτὸς[10] αὐτὸς ἀφ᾽ ἑαυτοῦ πρὸς τὴν σελήνην τὰ μαθήματα μελετῶν.—7. Ἄλλος τις ὑπὸ τῶν παιδαρίων προπηλακισθεὶς ἐν Ῥώμῃ, τοῖς γραφείοις τὴν προβοσκίδα κεντόντων, ἕνα αὐτῶν συλλαβὼν καὶ μετέωρον ἐξάρας, ἐπίδοξος ἦν[11] ἀποτυμπανίσειν· κραυγῆς δὲ τῶν παρόντων γενομένης, ἀτρέμα πρὸς τὴν γῆν πάλιν ἀπηρείσατο, καὶ παρῆλθεν, ἀρκοῦσαν ἡγούμενος δίκην τῷ τηλικούτῳ[12] φοβηθῆναι.—8. Περὶ δὲ τῶν ἀγρίων καὶ αὐτονόμων ἐλεφάντων ἄλλα τε θαυμάσια καὶ τὰ[13] περὶ τὰς διαβάσεις τῶν ποταμῶν ἱστοροῦσι· προδιαβαίνει γὰρ ἐπιδοὺς ἑαυτὸν[14] ὁ νεώτατος καὶ μικρότατος· οἱ δὲ ἑστῶτες ἀποθεωροῦσιν,[15] ὡς, ἂν[16] ἐκεῖνος ὑπεραίρῃ τῷ μεγέθει τὸ ῥεῦμα, πολλὴν τοῖς μείζοσι πρὸς τὸ θαῤῥεῖν περιουσίαν τῆς ἀσφαλείας[17] οὖσαν.

9. Ἡ θήρα τῶν ἐλεφάντων τοιάδε ἐστίν. Ἀναβάντες ἐπί τινας τῶν τιθασσῶν καὶ ἀνδρείων διώκουσι,[18] καὶ ὅταν καταλάβωσι, τύπτειν προστάττουσι τούτοις, ἕως ἂν ἐκλύσωσι.[19] Τότε δὲ ὁ ἐλεφαντιστὴς ἐπιπηδήσας κατευ-

---

7°. Gram. § 131. 3. p. 264.—8°. *to go through complicated movements.*—9°. *one very occasion.*—10°. Gram. § 132. 3. b). (2). p. 267.—11. *videbatur.*—12°. that is, for a child.—13°. *ἄλλα τε....καί, other wonderful things, and those* which concern, &c.—14°. τῷ ποταμῷ understood.—15°. that is, ἀπὸ τῆς γῆς θεωροῦσιν, *from the bank.*—16°. equivalent to ἐάν.—17°. *a great abundance of security*, that is, entire security. With respect to ὡς, thus used with the accusative of the partciple, see Gram. § 146. Rem. 5. p. 299.—18°. that is, τοὺς ἀγρίους understood.—19°. Gram. § 140. 7. p. 284.

θύνει τῷ δρεπάνῳ· ταχέως δὲ μετὰ ταῦτα τιθασσεύεται καὶ πειθαρχεῖ. Ἐπιβεβηκότος[20] μὲν οὖν τοῦ ἐλεφαντιστοῦ ἅπαντες πρᾳεῖς εἰσιν· ὅταν δ᾽ ἀποβῇ, οἱ μὲν,[21] οἱ δ᾽ οὔ· ἀλλὰ τῶν ἐξαγριουμένων τὰ πρόσθια σκέλη δεσμεύουσι σειραῖς, ἵν᾽ ἡσυχάζωσιν.

The Rhinoceros.

10. Ἔστι ζῶον, ὃ καλεῖται μὲν ἀπὸ τοῦ συμβεβηκότος[22] ῥινόκερως, ἀλκῇ δὲ καὶ βίᾳ παραπλήσιον ἐλέφαντι, τῷ δὲ ὕψει ταπεινότερον. Τὴν μὲν δορὰν ἰσχυροτάτην ἔχει, τὴν δὲ χρόαν πυξοειδῆ. Ἐπὶ δ᾽ ἄκρων τῶν μυκτήρων φέρει κέρας τῷ τύπῳ σιμὸν, τῇ δὲ στερεότητι σιδήρῳ παρεμφερές. Τοῦτο περὶ τῆς νομῆς ἀεὶ διαφερόμενον ἐλέφαντι, τὸ μὲν κέρας πρός τινα τῶν μειζόνων πετρῶν θήγει, συμπεσὸν δ᾽ εἰς μάχην τῷ προειρημένῳ θηρίῳ,[23] καὶ ὑποδῦνον ὑπὸ τὴν κοιλίαν ἀναῤῥήττει τῷ κέρατι, καθάπερ ξίφει, τὴν σάρκα. Ὅταν δὲ ὁ ἐλέφας, φθάσας τὴν ὑπὸ τὴν κοιλίαν ὑπόδυσιν τῇ προβοσκίδι προκαταλάβηται[24] τὸν ῥινόκερων, περιγίγνεται ῥᾳδίως, τύπτων τοῖς ὀδοῦσι, καὶ τῇ βίᾳ πλέον ἰσχύων.

The Hippopotamus.

11. Ὁ καλούμενος ἵππος[25] τῷ μεγέθει μέν ἐστιν οὐκ ἐλάττων πηχῶν πέντε, τετράπους δ᾽ ὢν καὶ δίχηλος παραπλησίως τοῖς βουσὶ, τοὺς χαυλιόδοντας ἔχει μείζους τῶν ἀγρίων ὑῶν, τρεῖς ἐξ ἀμφοτέρων τῶν μερῶν· ὦτα δὲ καὶ κέρκον καὶ φωνὴν[26] ἵππῳ παρεμφερῆ, τὸ δ᾽ ὅλον κύτος[26]

20°. *ἐπιβαίνω.*—21°. *πρᾳεῖς εἰσι* understood.—22°. *from his peculiarity.*—23°. viz. the elephant.—24°. Gram. § 140. 7. p. 234.—25°. *ποτάμιος* understood; *the river-horse.*—26°. *ἔχει* understood. The datives *ἵππῳ* and afterwards *ἐλέφαντι* are used elliptically, the whole being placed for the particular parts in question; *ἐλέφαντι* Instead of *τῷ κύτει τοῦ ἐλέφαντος*, and *ἵππῳ* for *τοῖς ὠσὶ καὶ κέρκῳ καὶ φωνῇ ἵππου.*

τοῦ σώματος οὐκ ἀνόμοιον ἐλέφαντι, καὶ δέρμα πάντων σχεδὸν τῶν θηρίων ἰσχυρότατον. Ποτάμιον ὑπάρχον καὶ χερσαῖον, τὰς μὲν ἡμέρας ἐν τοῖς ὕδασι διατρίβει, τὰς δὲ νύκτας ἐπὶ χώρας κατανέμεται τὸν δὲ σῖτον καὶ τὸν χόρτον· ὥστε εἰ πολύτεκνον ἦν τοῦτο τὸ ζῶον, καὶ κατ᾽ ἐνιαυτὸν ἔτικτεν, ἐλυμαίνετο ἂν[27] ὁλοσχερῶς τὰς γεωργίας τὰς κατ᾽ Αἴγυπτον.

The Camel.

12. Αἱ κάμηλοι ἴδιον ἔχουσι παρὰ τὰ ἄλλα τετράποδα τὸν καλούμενον ὕβον ἐπὶ τῷ νώτῳ· διαφέρουσι δὲ αἱ Βάκτριαι τῶν Ἀραβίων· αἱ μὲν γὰρ δύο ἔχουσιν ὕβους, αἱ δ᾽ ἕνα μόνον. Ἡ κάμηλος κύει μὲν δέκα μῆνας, τίκτει δὲ αἰεὶ ἓν μόνον. Ζῇ δὲ χρόνον πολὺ πλείω ἢ πεντήκοντα ἔτη.

The Ape with a Dog's Head.

13. Οἱ ὀνομαζόμενοι κυνοκέφαλοι τοῖς μὲν σώμασιν ἀνθρώποις δυσειδέσι παρεμφερεῖς εἰσὶ, ταῖς δὲ φωναῖς[28] μυγμοὺς ἀνθρωπίνους προΐενται. Ἀγριώτατα δὲ ταῦτα τὰ ζῶα καὶ παντελῶς ἀτιθάσσευτά ἐστιν.

The Crocottas.

14. Ὁ λεγόμενος παρὰ Αἰθίοψι κροκόττας μεμιγμένην ἔχει φύσιν κυνὸς καὶ λύκου, τὴν δὲ ἀγριότητα φοβερωτέραν ἀμφοτέρων· τοῖς δὲ ὀδοῦσι πάντων ὑπεράγει. Πᾶν γὰρ ὀστῶν μέγεθος[29] συντρίβεται ῥαδίως, καὶ τὸ καταποθὲν[30] διὰ τῆς κοιλίας πέττει παραδόξως.

27°. Gram. § 140. 8. 4). p. 285.—28°. These words are inserted only to make an antithesis with τοῖς μὲν σώμασι.—29°. equivalent to πάντα καὶ τὰ μέγιστα ὀστᾶ.—30°. καταπίνω· *swallowed.*

The Fox.

15. Οἱ Θρᾷκες ὅταν παγέντα[31] ποταμὸν διαβαίνειν ἐπιχειρῶσιν, ἀλώπεκα ποιοῦνται γνώμονα τῆς τοῦ πάγου στεῤῥότητος. Ἡσυχῇ γὰρ ὑπάγουσα[32] παραβάλλει τὸ οὖς· κἂν μὲν αἴσθηται[33] ψόφῳ[34] τοῦ ῥεύματος ἐγγὺς ὑποφερομένου,[35] τεκμαιρομένη μὴ γεγονέναι διὰ βάθους[36] τὴν πῆξιν, ἀλλὰ λεπτὴν καὶ ἀβέβαιον, ἵσταται, κἂν ἐᾷ τις,[37] ἐπανέρχεται· τῷ δὲ μὴ ψοφεῖν[38] θαῤῥοῦσα, διῆλθεν.—16. Τῶν ἐλάφων αἱ θήλειαι μάλιστα τίκτουσι παρὰ τὴν ὁδὸν, ὅπου τὰ σαρκοβόρα θηρία μὴ πρόσεισιν· οἱ δὲ ἄῤῥενες ὅταν αἴσθωνται βαρεῖς ὑπὸ πιμελῆς καὶ πολυσαρκίας ὄντες[35] ἐκτοπίζουσι, σώζοντες αὑτὰς τῷ λανθάνειν, ὅτε τῷ φεύγειν οὐ πεποίθασιν.

The Hedgehog.

17. Ἡ τῶν χερσαίων ἐχίνων περὶ τῶν σκυμνίων πρόνοια πάνυ γλαφυρά ἐστι. Μετοπώρου[39] γὰρ ὑπὸ τὰς ἀμπέλους ὑποδυόμενος, καὶ τοῖς ποσὶ τὰς ῥᾶγας ἀποσείσας τοῦ βότρυος χαμᾶζε, καὶ περικυλισθεὶς, ἀναλαμβάνει[40] ταῖς ἀκάνθαις· εἶτα καταδὺς εἰς τὸν φωλεὸν, τοῖς σκύμνοις χρῆσθαι, καὶ λαμβάνειν ἀπ᾽ αὐτοῦ ταμιευομένοις[41] παραδίδωσι. Τὸ δὲ κοιταῖον αὐτῶν ὀπὰς ἔχει δύο, τὴν μὲν πρὸς νότον, τὴν δὲ πρὸς βορέαν

31°. πήγνυμι.—32°. ἡ ἀλώπηξ.—33°. governs the genitive. Gram. § 132. 4. c). p. 268.—34°. Gram. § 133. 3. p. 271.—35°. for τὸ ῥεῦμα ἐγγὺς ὑποφέρεσθαι. After verbs signifying *to know*, *remark*, *experience*, &c. the participle often follows. Gram. § 145. 4. c). p. 297.—36°. that is, βαθεῖαν.—37°. *if no one hinder her.*—38°. that is, εἰ δὲ ὁ ποταμὸς, τῷ μὴ ψοφεῖν, θάρσος ἐμποιεῖ αὐτῇ, instead of εἰ δὲ μὴ ψοφεῖ ὁ ποταμός.—39°. Gram. § 132. 3 (2). p. 267.—40°. τὰς ῥᾶγας understood.—41°. that is, καὶ ταμιεύεσθαι, *dividing them with each other.*

βλέπουσαν· ὅταν δὲ προαίσθωνται τὴν διαφορὰν τοῦ ἀέρος, ἐμφράσσουσι τὴν κατ᾽ ἄνεμον,[42] *τὴν δὲ ἑτέραν ἀνοίγουσιν.*

The Dog.

18. *Πύῤῥος*, ὁ βασιλεὺς, ὁδεύων ἐνέτυχε κυνὶ φρουροῦντι σῶμα πεφονευμενοῦ, καὶ πυθόμενος τρίτην ἡμέραν ἐκείνην[43] ἄσιτον παραμένειν καὶ μὴ ἀπολιπεῖν, τὸν μὲν νεκρὸν ἐκέλευσε θάψαι, τὸν δὲ κύνα μεθ᾽ ἑαυτοῦ κομίζειν. Ὀλίγαις δὲ ὕστερον ἡμέραις ἐξέτασις ἦν τῶν στρατιωτῶν καὶ πάροδος,[44] καθημένυ τοῦ βασιλέως, καὶ παρῆν ὁ κύων ἡσυχίαν ἔχων· ἐπεὶ δὲ τοὺς φονέας τοῦ δεσπότου παριόντας εἶδεν, ἐξέδραμε[45] μετὰ φωνῆς καὶ θυμοῦ ἐπ᾽ αὐτοὺς, καὶ καθυλάκτει πολλάκις μεταστρεφόμενος εἰς τὸν *Πύῤῥον*· ὥςτε μὴ μόνον ἐκείνῳ δι᾽ ὑποψίας, ἀλλὰ καὶ πᾶσι τοῖς παροῦσι τοὺς ἀνθρώπους γενέσθαι·[46] διὸ συλληφθέντες εὐθὺς καὶ ἀνακρινόμενοι, μικρῶν τινων τεκμηρίων ἔξωθεν προςγενομένων, ὁμολογήσαντες τὸν φόνον, ἐκολάσθησαν.

19. *Λυσίμαχος*[47] κύνα εἶχεν Ὑρκανόν. Οὗτος νεκρῷ τε μόνος παρέμεινεν αὐτῷ καὶ καιομένου τοῦ σώματος ἐνδραμὼν αὐτὸς ἑαυτὸν ἐπέῤῥιψε.[48] Τὰ δ᾽ αὐτὰ καὶ τὸν Ἀςὸν δρᾶσαι λέγουσιν, ὃν *Πύῤῥος*, οὐχ ὁ βασιλεὺς, ἀλλ᾽ ἕτερός τις ἰδιώτης, ἔθρεψεν· ἀποθανόντος γὰρ αὐτοῦ περὶ τὸ σῶμα διατρίβων, καὶ περὶ τὸ κλινίδιον αἰωρούμενος ἐκφερομένου,[49] τέλος εἰς τὴν πυρὰν ἀφῆκεν

42°. οὖσαν ὀπὴν understood.—43°. *that he remained for this the third day without food*, &c.—44°. *a passing in review.*—45°. ἐκτρέχω.—46°. the construction is, ὥςτε τοὺς ἀνθρώπους μὴ μόνον ἐκείνῳ (τῷ βασιλεῖ), ἀλλὰ καὶ πᾶσι τοῖς παροῦσι δι᾽ ὑποψίας (ὑπόπτους) γενέσθαι.—47°. Lysimachus was one of the successors of Alexander, and lost his life in a battle with Seleucus.—48°. τῇ πυρᾷ understood.—49°. τοῦ νεκροῦ understood.

ἑαυτὸν καὶ συγκατέκαυσε.[50]—Φασὶ τὸν πρωτεύοντα κύνα τῶν Ἰνδικῶν εἰςαχθέντα πρὸς Ἀλέξανδρον, ἐλαφου ἀφιεμένου καὶ κάπρου καὶ ἄρκτου, ἡσυχίαν ἔχοντα κεῖσθαι, καὶ περιορᾶν· ὀφθέντος δὲ λέοντος εὐθὺς ἐξαναστῆναι και διακονίεσθαι, καὶ φανερὸν εἶναι αὑτοῦ ποιούμενον ἀνταγωνιστὴν, τῶν δὲ ἄλλων ὑπερφρονοῦντα πάντων.

The Raven.

20. Ὁ κόραξ ὁ ἤδη γέρων, ὅταν μὴ δύνηται[51] τρέφειν τοὺς νεοττοὺς, ἑαυτὸν αὐτοῖς προτείνει τροφήν· οἱ δὲ ἐσθίουσι τὸν πατέρα. Καὶ τὴν παροιμίαν ἐντεῦθέν φασι τὴν γένεσιν λαβεῖν, τὴν λέγουσαν· Κακοῦ κόρακος κακὸν ᾠόν.

The Pelican.

21. Φασὶ τοὺς πελεκᾶνας τὰς ἐν τοῖς ποταμοῖς γενομένας κόγχας ὀρύττοντας κατεσθίειν· ἔπειτα ὅταν πλῆθος εἰςφορήσωσιν[51] αὐτῶν, ἐξεμεῖν, εἶθ᾽ οὕτως τὰ μὲν κρέα ἐσθίειν τῶν κογχῶν, τῶν δὲ ὀστράκων μὴ ἅπτεσθαι.

The Ostrich.

22. Οἱ στρουθοκάμηλοι μέγεθος ἔχουσι νεογενεῖ καμήλῳ παραπλήσιον· τὰς δὲ κεφαλὰς πεφρικυίας θριξὶ λεπταῖς, τοὺς δὲ ὀφθαλμοὺς μεγάλους, καὶ κατὰ τὴν χρόαν μέλανας. Μακροτράχηλον δ᾽ ὑπάρχον,[52] ῥύγχος ἔχει βραχὺ παντελῶς, καὶ εἰς ὀξὺ συνηγμένον.[53] Ἐπτέρωται[54] δὲ ταρσοῖς μαλακοῖς καὶ τετριχωμένοις, καὶ δυσὶ σκέλεσι στηριζόμενον, καὶ ποσὶ διχήλοις, χερ-

---

50°. συγκατακαίω.—51°. Gram. § 140. 7. p. 284.—52°. ζῶον understood.—53°. *gathered to a point.*—54°. πτερόω.

σαῖον ἅμα φαίνεται καὶ πτηνόν. Διὰ δὲ τὸ βάρος οὐ δυνάμενον ἐξᾶραι καὶ πέτεσθαι, κατὰ τῆς γῆς ὠκέως ἀκροβατεῖ, καὶ διωκόμενον ὑπὸ τῶν ἱππέων τοῖς ποσὶ τοὺς ὑποπίπτοντας λίθους οὕτως εὐτόνως ἀποσφενδονᾷ πρὸς τοὺς διώκοντας, ὥςτε πολλάκις παρτεραῖς πληγαῖς αὐτοὺς περιπίπτειν.

The Magpie.

23. Κουρεύς τις ἐργαστήριον ἔχων ἐν Ῥώμῃ πρὸ τοῦ τεμένους, ὃ καλοῦσιν Ἑλλήνων ἀγορὰν, θαυμαστόν τι χρῆμα[55] πολυφώνου κίττης ἔτρεφεν, ἣ ἀνθρώπου ῥήματα καὶ θηρείους φθόγγους ἀνταπεδίδου, καὶ ψόφους ὀργάνων, μηδενὸς ἀναγκάζοντος, ἀλλ' αὑτὴν ἐθίζουσα, φιλοτιμουμένη μηδὲν ἄῤῥητον ἀπολιπεῖν, μηδὲ ἀμίμητον. Ἔτυχε δέ τις ἐκεῖ τῶν πλουσίων ἐκκομιζόμενος ὑπὸ σάλπιγξι πολλαῖς, καὶ γενομένης, ὥςπερ εἴωθε,[56] κατὰ τὸν τόπον ἐπιστάσεως, εὐδοκιμοῦντες οἱ σαλπιγκταὶ παὶ κελευόμενοι, πολὺν χρόνον ἐνδιέτριψαν. Ἡ δὲ κίττα μετὰ τὴν ἡμέραν ἐκείνην ἄφθογγος ἦν καὶ ἄναυδος. Τοῖς οὖν πρότερον αὐτῆς θαυμάζουσι τὴν φωνὴν τότε θαῦμα μεῖζον ἡ σιωπὴ παρεῖχεν· ὑποψίαι δὲ φαρμάκων ἐπὶ τοὺς ὁμοτέχνους ἦσαν·[57] οἱ δὲ πλεῖςοι τὰς σάλπιγγας εἴκαζον ἐκπλῆξαι τὴν ἀκοὴν, τῇ δ' ἀκοῇ συγκατεσβέσθαι τὴν φωνήν. Ἦν δὲ οὐδέτερα τούτων, ἀλλ' ἄσκησις, ὡς ἔοικεν· ἄφνω γὰρ αὖθις ἀφῆκεν,[58] οὐδὲν τῶν συνήθων καὶ παλαιῶν μιμημάτων ἐκείνων,

---

55°. a periphrasis for *κίτταν θαυμασίως πολύφωνον*.—56°. The funeral processions were accustomed to halt in the market-places.—57°. They believed that other barbers from jealousy had made the magpie dumb, by means of sorcery. 58°. may be rendered as governing *φωνὴν* understood; or also (and this is preferable) as governing the accusatives *οὐδὲν* and *τὰ μέλη*, in which case *αὐτὰ* will be understood after *φθεγγομένη*.

ἀλλὰ τὰ μέλη τῶν σαλπίγγων, αὐταῖς[59] περιόδοις φθεγγομένη, καὶ μεταβολὰς πάσας διεξιοῦσα.

The Crocodile.

24. Ὁ κροκόδειλος ἐξ ἐλαχίστου γίνεται μέγιστος, ὡς ἂν ὠὰ μὲν τοῦ ζώου τίκτοντος[60] τοῖς χηνείοις παραπλήσια, τοῦ δὲ γεννεθέντος αὐξομένου μέχρι πηχῶν ἑκκαίδεκα. Τὸ δὲ σῶμα θαυμαστῶς ὑπὸ τῆς φύσεως ὠχύρωται. Τὸ μὲν γὰρ δέρμα αὐτοῦ πᾶν φολιδωτόν ἐστι καὶ τῇ σκληρότητι διαφέρον, ὀδόντες δὲ ἐξ ἀμφοτέρων τῶν μερῶν[61] ὑπάρχουσι πολλοὶ, δύο δὲ οἱ χαυλιόδοντες, πολὺ τῷ μεγέθει τῶν ἄλλων διαλλάττοντες. Σαρκοφαγεῖ δὲ οὐ μόνον ἀνθρώπους, ἀλλὰ καὶ τῶν ἐπὶ τῆς γῆς ζώων τὰ προςπελάζοντα τῷ ποταμῷ· Πλῆθος δ᾽ αὐτῶν ἀμύθητόν ἐστι κατὰ τὸν Νεῖλον καὶ τὰς παρακειμένας λίμνας, ὡς ἂν πολυγόνων τε ὄντων καὶ σπανίως ὑπὸ τῶν ἀνθρώπων ἀναιρεμένων. Τοῖς μὲν γὰρ ἐγχωρίων τοῖς πλείστοις νόμιμόν ἐστιν ὡς θεὸν σέβεσθαι τὸν κροκόδειλον· τοῖς δ᾽ ἀλλοφύλοις ἀλυσιτελής ἐστιν ἡ θήρα παντελῶς, οὐκ οὔσης ἐδωδίμου τῆς σαρκός. Ἀλλ᾽ ὅμως τοῦ πλήθους τούτου φυομένου πατὰ τῶν ἀνθρώπων,[62] ἡ φύσις κατεσκεύασε μέγα βοήθημα. Ὁ γὰρ καλούμενος ἰχνεύμων παραπλήσιος ὢν μικρῷ κυνὶ, περιέρχεται τὰ τῶν κροκοδείλων ὠὰ συντρίβων, τίκτοντος τοῦ ζώου παρὰ τὸν ποταμόν.—25. Ὁ κροκόδειλος ἔχει ὀφθαλμὸς μὲν ὑὸς, ὀδόντας δὲ μεγάλους καὶ χαυλιόδοντας κατὰ λόγον[63] τοῦ σώματος, γλῶσσαν δὲ μόνον θηρίων

59°. that is, *σὺν αὐταῖς*.—60°. the construction is, *τοῦ ζώου τίκτοντος ὠὰ παραπλήσια τοῖς χηνείοις*, to which, in the apodosis, the words *τοῦ δὲ γεννηθέντος αὐξομένου* correspond.—61°. *in either jaw.*—62°. *to the injury of man.*—63°. *in proportion.*

οὐκ ἔφυσε· οὐδὲ τὴν κάτω[64] κινεῖ γνάθον, ἀλλὰ τὴν ἄνω[64] γνάθον προςάγει τῇ κάτω· ἔχει δὲ ὄνυχας καρτεροὺς, καὶ δέρμα λεπιδωτὸν ἄῤῥηκτον ἐπὶ τοῦ νώτου· τυφλὸν δὲ ἐν ὕδατι, ἐν δὲ τῇ αἰθρίᾳ ὀξυδερκέστατον.

The Ephemeron.

26. Περὶ τὸν Ὕπανιν ποταμὸν τὸν περὶ Βόσπορον τὸν Κιμμέριον, γίγνεται ζῶον πτερωτὸν, τετράπτερον. Ζῇ δὲ τοῦτο καὶ πέτεται ἐξ ἑωθινοῦ μέχρι δείλης· καταφερομένου δὲ τοῦ ἡλίου, ἀπομαραίνεται, καὶ ἅμα δυομένῳ ἀποθνήσκει, βιοῦν ἡμέραν μίαν· διὸ καὶ καλεῖται Ἐφήμερον.

Bees. Geese.

27. Θαύματος ἄξια τὰ[65] τῶν Κρητικῶν μελισσῶν, καὶ τὰ[65] τῶν ἐν Κιλικίᾳ χηνῶν. Ἐκεῖναι μὲν γὰρ ἀνεμῶδές τι μέλλουσαι κάμπτειν ἀκρωτήριον, ἑρματίζουσιν ἑαυτὰς, ὑπὲρ τοῦ μὴ[66] παραφέρεσθαι, μικροῖς λιθιδίοις. Οἱ δὲ χῆνες τοὺς ἀετοὺς δεδοικότες[67] ὅταν ὑπερβάλλωσι τὸν Ταῦρον,[68] εἰς τὸ στόμα λίθον εὐμεγέθη λαμβάνουσιν, οἷον[69] ἐπιστομίζοντες αὐτῶν καὶ χαλινοῦντες τὸ φιλόφωνον καὶ λάλον, ὅπως λάθωσι[70] σιωπῇ παρελθόντες[71].

Of some Marine Animals.

28. Τῆς νάρκης ἡ δύναμις οὐ μόνον τοὺς θιγόντας αὐτῆς ἐκπήγνυσι, ἀλλὰ καὶ διὰ τῆς σαγηνῆς βαρύτητα

64°. Gram. § 125. 5. p. 256.—65°. *the practice.* Gram. § 128. Rem. 1. p. 261. —66°. *in order not to be.* Gram. § 141. Rem. 1. p. 289.—67°. δείδω.—68°. one of the chief mountainous chains in Asia.—69°. *as it were.*—70°. Gram. § 140. 2. p. 283.—71°. Gram. § 145. Rem. 5. p. 297.

ναρκώδη ταῖς χερσὶ τῶν ἀντιλαμβανομένων ἐμποιεῖ. Ἔνιοι δὲ ἱστοροῦσι, πεῖραν αὐτῆς ἐπιπλέον λαμβάνοντες, ἂν ἐκπέσῃ[72] *ζῶσα, κατασκεδαννύντες ὕδωρ ἄνωθεν, αἰσθάνεσθαι τοῦ πάθους*[73] *ἀνατρέχοντος*[74] *ἐπὶ τὴν χεῖρα, καὶ τὴν ἁφὴν ἀμβλύνοντος, ὡς ἔοικε, διὰ τοῦ ὕδατος τρεπομένου*[75] *καὶ προπεπονθότος.*[76]—29. *Ὁ πινοτήρας ζῶόν ἐστι καρκινῶδες, καὶ τῇ πίνῃ σύνεστι, καὶ πυλωρεῖ τὴν κόγχην προκαθήμενος,*[77] *ἐῶν ἀνεῳγμένην*[78] *καὶ διακεχηνυῖαν,*[79] *ἄχρι προςπέσῃ τι τῶν ἁλωσίμων αὐτοῖς ἰχθυδίων· τότε δὲ τὴν σάρκα τῆς πίνης δακὼν παρειςῆλθεν· ἡ δὲ συνέκλεισε τὴν κόγχην, καὶ κοινῶς τὴν ἄγραν ἐντὸς ἕρκους γενομένην κατεσθίουσιν.*

The Pilot-fish and the Whale.

30. *Ὁ καλούμενος ἡγεμὼν ἀεὶ σύνεστιν ἑνὶ τῶν μεγάλων κητῶν, καὶ προνήχεται, τὸν δρόμον ἐπευθύνων, ὅπως οὐκ ἐνσχεθήσεται*[80] *βράχεσιν, οὐδὲ εἰς τέναγος ἤ τινα πορθμὸν ἐμπεσεῖται δυσέξοδον. Ἕπεται γὰρ αὐτῷ τὸ κῆτος, ὥσπερ, οἴακι ναῦς, παραγόμενον*[81] *εὐπειθῶς· καὶ τῶν μὲν ἄλλων ὅ, τι ἂν παραλάβῃ τῷ χάσματι ζῶον ἢ σκάφος ἢ λίθον εὐθὺς διέφθαρται*[82] *καὶ ἀπόλωλε, πᾶν ἐμβεβυθισμένον· ἐκεῖνο δὲ*[83] *γιγνῶσκον ἀναλαμβάνει τῷ στόματι καθάπερ ἄγκυραν*[84] *ἐντός. Ἐγκαθεύδει*

72°. *τοῦ ὕδατος* understood.—73°. the numbness.—74°. Gram. § 145. 4. c). p. 297.—75°. the water being changed in nature, and assuming the property of the animal.*—76°. *προπάσχω*.—77°. *keeps watch over the muscle, sitting before it.*—78°. *ἀνοίγω*.—79°. *διαχαίνω*.—80°. *ἐνέχω*. Gram. § 140. 2. p. 283. —81°. *καὶ παράγεται*.—82°. *διαφθείρω*.—83°. *τὸ ζῶον, τὸν ἡγεμόνα*.—84°. *as the anchor*, when weighed, is stowed in the vessel.

---

* Plutarch, from whom this extract is taken, was ignorant of the simple *conducting* agency of the water in this phenomenon.

γὰρ αὐτῷ, καὶ τὸ κῆτος ἕστηκεν ἀναπαυομένου[85] καὶ ὁρμεῖ· προελθόντος[85] δὲ αὖθις ἐπακολουθεῖ, μήτε ἡμέρας, μήτε νυκτὸς ἀπολειπόμενον, ἢ[86] ῥέμβεται καὶ πλανᾶται, καὶ πολλὰ[87] διεφθάρη, καθάπερ ἀκυβέρνητα πρὸς γῆν ἐξενεχθέντα.[88]

The Tortoise.

31. Θαυμαστὴ ἡ τῆς χελώνης περὶ τὴν γένεσιν καὶ σωτηρίαν τῶν γεννωμένων ἐπιμέλεια. Τίκτει μὲν γὰρ ἐκβαίνουσα τῆς θαλάττης πλησίον· ἐπωάζειν δὲ μὴ νυναμένη, μηδὲ χερσεύειν πολὺν χρόνον, ἐντίθησι τῇ ψάμμῳ τὰ ᾠὰ, καὶ τὸ λειότατον ἐπαμᾶται τῆς θινὸς αὐτοῖς καὶ μαλακώτατον· ὅταν δὲ καταχώσῃ καὶ ἀποκρύψῃ βεβαίως, οἱ μὲν λέγουσι τοῖς ποσὶν ἀμύττειν καὶ καταστίζειν τὸν τόπον, εὔσημον ἑαυτῇ ποιοῦσαν, οἱ δὲ, τὴν θήλειαν ὑπὸ τοῦ ἄῤῥενος τρεπομένην, τύπους ἰδίους καὶ σφραγῖδας ἐναπολείπειν. Ὃ δὲ τούτου θαυμασιώτερόν ἐστιν, ἡμέραν ἐκφυλάξασα τεσσαρακοστὴν (ἐν τοσαύταις[89] γὰρ ἐκπέττεται καὶ περιῤῥήγνυται τὰ ᾠὰ) πρόσεισι, καὶ γνωρίσασα τὸν ἑαυτῆς ἑκάστη θησαυρὸν, ὡς οὐδεὶς χρυσίου θήκην ἄνθρωπος, ἀσμένως ἀνοίγει καὶ προθύμως.

The Magnet. Nitre.

32. Ἡ λίθος ἣν Εὐριπίδης μὲν μαγνῆτιν ὠνόμασεν, οἱ δὲ πολλοὶ ἡρακλείαν, οὐ μόνον αὐτοὺς τοὺς δακτυλίους ἄγει τοὺς σιδηροῦς, ἀλλὰ καὶ δύναμιν ἐντίθησι τοῖς δακτυλίοις, ὥςτε δύνασθαι ταὐτὸν[90] τοῦτο ποιεῖν, ὅπερ ἡ λίθος, ἄλλους ἄγειν δακτυλίους· ὥςτ' ἐνίοτε

85°. that is, ἡγεμόνος.—86°. *or else.*—87°. κήτη understood.—88°. ἐκφέρω.—89°. ἡμέραις understood.—90°. that is, τὸ αὐτό. Gram. § 74. 2. p. 85.

ὁρμαθὸς μακρὸς πάνυ σιδηρῶν δακτυλίων ἐξ ἀλλήλων ἤρτηται.[91] πᾶσι δὲ τούτοις ἐξ ἐκείνης τῆς λίθου ἡ δύναμις ἀνήρτηται.—33. Ἐν τῇ Ἀσκανίᾳ λίμνῃ οὕτω νιτρῶδές ἐστι τὸ ὕδωρ, ὥστε τὰ ἱμάτια οὐδενὸς ἑτέρου ῥύμματος προσδεῖσθαι· κἂν[92] πλείω χρόνον ἐν τῷ ὕδατι ἐάσῃ τις, διαπίπτει.[93]

MYTHOLOGY.

Mythological Notices.

1. Ὁ οὐρανὸς χαλκοῦς ἐστι τὰ ἔξω.[1] Ὑπερβάντι δὲ καὶ ἐπὶ τοῦ νώτου γενομένῳ φῶς τε λαμπρότερον φαίνεται, καὶ ἥλιος καθαρώτερος, καὶ ἄστρα διαυγέστερα, καὶ χρυσοῦν τὸ δάπεδον. Εἰσιόντι δὲ,[2] πρῶτον μὲν οἰκοῦσιν αἱ Ὧραι· πυλωροῦσι γάρ· ἔπειτα δὲ, ἡ Ἶρις, καὶ ὁ Ἑρμῆς, ὄντες ὑπηρέται καὶ ἀγγελιαφόροι τοῦ Διός. Ἑξῆς δὲ τοῦ Ἡφαίστου τὸ χαλκεῖον, ἀνάμεστον ἁπάσης τέχνης·[3] μετὰ δὲ,[4] αἱ τῶν θεῶν οἰκίαι, καὶ τοῦ Διὸς τὰ βασίλεια, ταῦτα πάντως περικαλλῆ τοῦ Ἡφαίστου κατασκευάσαντος. Οἱ δὲ θεοὶ παρὰ Ζηνὶ καθήμενοι εὐωχοῦνται,[5] νέκταρ πίνοντες καὶ ἀμβροσίαν ἐσθίοντες. Πάλαι μὲν οὖν καὶ ἄνθρωποι συνειστιῶντο, καὶ συνέπινον αὐτοῖς, ὁ Ἰξίων καὶ ὁ

91°. ἀρτάω.—92°. for καὶ ἐὰν, with the subjunctive mode following.—93°. αὐτὰ understood.

1°. Gram. § 125. 5. p. 256. and § 131. 6. and Rem. 2. p. 265.—2°. *to him who entereth*, that is, on entering—3°. *of every* species of *art.*—4°. *farther on.* —5°. These words are borrowed from Homer, hence the poetical form of Ζηνὶ for Διΐ.

Τάνταλος· ἐπεὶ δὲ ἦσαν ὑβρισταὶ καὶ λάλοι, ἐκεῖνοι μὲν ἔτι καὶ νῦν κολάζονται, ἄβατος δὲ τῷ θνητῶν γένει καὶ απόῤῥητος ὁ οὐρανός.

2. Οἱ θεοὶ οὔτε σῖτον ἔδουσιν, οὔτε πίνουσιν οἶνον, ἀλλὰ τὴν ἀμβροσίαν παρατίθενται,[6] καὶ τοῦ νέκταρος μεθύσκονται, μάλιστα δὲ ἥδονται σιτούμενοι τὸν ἐκ τῶν θυσιῶν καπνὸν αὐτῇ[7] κνίσσῃ ἀνηνεγμένον,[8] καὶ τὸ αἷμα τῶν ἱερείων, ὃ τοῖς βωμοῖς οἱ θύοντες περιχέουσι.—3. Θυσίας ἄλλοι ἄλλας[9] τοῖς θεοῖς προσάγουσι· βοῦν μὲν ὁ γεωργὸς, ἄρνα δὲ ὁ ποιμὴν, καὶ αἶγα ὁ αἰπόλος· ὁ δέ τις λιβανωτὸν ἢ πόπανον· ὁ δὲ πένης ἱλάσκεται τὸν θεὸν φιλήσας μόνον τὴν αὑτοῦ δεξιάν.

4. Οἱ πλάσται τὸν μὲν Δία ἀναπλάττουσι γενειήτην καὶ σκῆπτρον ἔχοντα, Ποσειδῶνα κυανοχαίτην, τὴν Ἀθηνᾶν παρθένον καλὴν, γλαυκῶπιν, αἰγίδα ἀνεζωσμένην,[10] κόρυν φέρουσαν, δόρυ ἔχουσαν, τὴν Ἥραν λευκώλενον, εὐῶπιν, εὐείμονα, βασιλικὴν, ἱδρυμένην ἐπὶ χρυσοῦ θρόνου, Ἀπόλλωνα μειράκιον γυμνὸν ἐν χλαμυδίῳ, τοξότην, διαβεβηκότα[11] τοῖς ποσὶν ὥσπερ θέοντα.—Ἕκαστος τῶν θεῶν τέχνην τινὰ ἔχει ἢ θεοῖς ἢ ἀνθρώποις χρησίμην. Ὁ Ἀπόλλων μαντεύεται· ὁ Ἀσκληπιὸς ἰᾶται· ὁ Ἑρμῆς παλαίειν διδάσκει· ἡ Ἄρτεμις μαιεύεται· οἱ Διόσκουροι τοὺς ἐν θαλάσσῃ χειμαζομένους ναύτας σώζουσιν, ἄλλοι δὲ ἄλλα τοιαῦτα ἐπιτηδεύουσιν.

5. Τοὺς Διὸς ἐκγόνους φασὶ γενέσθαι, θεὰς μὲν, Ἀφροδίτην καὶ Χάριτας, πρὸς δὲ ταύταις Εἰλείθυιαν, καὶ τὴν ταύτης συνεργὸν Ἄρτεμιν, καὶ τὰς προσαγορευομένας Ὥρας, Εὐνομίαν τε καὶ Δίκην, ἔτι δ

6°. Gram. § 134. 3. p. 272.—7°. for σὺν τῇ κνίσσῃ.—8°. ἀναφέρω.—9°. *some one sacrifice and some another.*—10°. ἀναζώννυμι with respect to the accusative αἰγίδα, see Gram. § 134. 3. p. 272.—11°. διαβαίνω.

Εἰρήνην· θεοὺς δέ, Ἥφαιστον καὶ Ἄρεα καὶ Ἀπόλλωνα, πρὸς δὲ τούτοις Ἑρμῆν.—Τούτων δὲ ἑκάστῳ μυθολογοῦσι τὸν Δία τῶν εὑρεθέντων ὑπ' αὐτοῦ καὶ συντελουμένων ἔργων τὰς ἐπιστήμας καὶ τὰς τιμὰς τῆς εὑρέσεως ἀπονεῖμαι, βουλόμενον αἰώνιον αὐτοῖς περιποιῆσαι μνήμην παρὰ πᾶσιν ἀνθρώποις. Παραδοθῆναι δὲ τῇ μὲν Ἀφροδίτῃ τήν τε τῶν παρθένων ἡλικίαν, ἐν οἷς χρόνοις δεῖ γαμεῖν αὐτὰς καὶ τὴν ἄλλην ἐπιμέλειαν, τὴν ἔτι καὶ νῦν ἐν τοῖς γάμοις γιγνομένην μετὰ θυσιῶν καὶ σπονδῶν, ἃς ποιοῦσιν ἄνθρωποι τῇ θεῷ ταύτῃ. Ταῖς δὲ Χάρισι δοθῆναι τὴν τῆς ὄψεως κόσμησιν, καὶ τὸ κατάρχειν εὐεργεσίας, καὶ πάλιν ἀμείβεσθαι ταῖς προσηκούσαις χάρισι τοὺς εὐποιήσαντας.

6. Εἰλείθυιαν δὲ λαβεῖν[12] τὴν περὶ τὰς τικτούσας ἐπιμέλειαν, καὶ θεραπείαν τῶν ἐν τῷ τίκτειν κακοπαθουσῶν·[13] διὸ καὶ τὰς ἐν τοῖς τοιούτοις κινδυνευούσας γυναῖκας ἐπικαλεῖσθαι μάλιστα τὴν θεὸν ταύτην. Ἄρτεμιν δέ φασιν εὑρεῖν τὴν τῶν νηπίων παιδίων θεραπείαν, καὶ τροφάς τινας ἁρμοζούσας τῇ φύσει τῶν βρεφῶν· ἀφ' ἧς αἰτίας καὶ Κουροτρόφον αὐτὴν ὀνομάζεσθαι. Τῶν δὲ ὀνομαζομένων Ὡρῶν ἑκάστῃ δοθῆναι[12] τὴν ἐπώνυμον τάξιν[14] τε καὶ τοῦ βίου διακόσμησιν, ἐπὶ τῇ μεγίστῃ τῶν ἀνθρώπων ὠφελείᾳ· μηδὲν γὰρ εἶναι μᾶλλον δυνάμενον εὐδαίμονα βίον παρασκευάσαι τῆς Εὐνομίας, καὶ Δίκης, καὶ Εἰρήνης.

7. Ἀθηνᾷ δὲ προσάπτουσι τήν τε τῶν ἐλαιῶν ἡμέρωσιν καὶ φυτείαν παραδοῦναι τοῖς ἀνθρώποις, καὶ τὴν τοῦ καρποῦ τούτου κατεργασίαν· πρὸς δὲ τούτοις τὴν τῆς ἐσθῆτος κατασκευήν, καὶ τὴν τεκτονικὴν τέχνην, ἔτι δὲ

12°. μυθολογοῦσι understood.—13°. that is, γυναικῶν.—14°. an employment corresponding to her name.

πολλὰ τῶν[15] ἐν ταῖς ἄλλαις ἐπιστήμαις εἰςηγήσασθαι τοῖς ἀνθρώποις· εὑρεῖν δὲ καὶ τὴν τῶν αὐλῶν κατασκευὴν, καὶ τὴν διὰ τούτων συντελουμένην μουσικὴν, καὶ τὸ σύνολον πολλὰ τῶν φιλοτέχνων ἔργων, ἀφ᾽ ὧν[16] Ἐργάνην αὐτὴν προσαγορεύεσθαι.

8. Ταῖς δὲ Μούσαις δοθῆναι[12] παρὰ τοῦ πατρὸς τὴν τῶν γραμμάτων εὕρεσιν, καὶ τὴν τῶν ἐπῶν σύνθεσιν, τὴν προσαγορευομένην ποιητικήν. Ἥφαιστον δὲ λέγουσιν εὑρετὴν γενέσθαι τῆς περὶ τὸν σίδηρον ἐργασίας ἁπάσης, καὶ τῆς περὶ τὸν χαλκὸν, καὶ χρυσὸν, καὶ ἄργυρον, καὶ τῶν ἄλλων ὅσα[17] τὴν ἐκ τοῦ πυρὸς ἐργασίαν ἐπιδέχεται. Τὸν Ἄρην δὲ μυθολογοῦσι πρῶτον κατασκευάσαι πανοπλίαν, καὶ στρατιώτας καθοπλίσαι, καὶ τὴν ἐν ταῖς μάχαις ἐναγώνιον ἐνέργειαν εἰςηγήσασθαι, φονεύοντα τοὺς ἀπειθοῦντας τοῖς θεοῖς.

9. Ἀπόλλωνα δὲ τῆς κιθάρας εὑρετὴν ἀναγορεύουσι, καὶ τῆς κατ᾽ αὐτὴν μουσικῆς· ἔτι δὲ τὴν ἰατρικὴν ἐπιστήμην ἐξενεγκεῖν, διὰ τῆς μαντικῆς τέχνης γιγνομένην,[18] δι᾽ ἧς τὸ παλαιὸν συνέβαινε θεραπείας τυγχάνειν[19] τοὺς ἀῤῥωστοῦντας· εὑρετὴν δὲ καὶ τοῦ τόξου γενόμενον, διδάξαι τοὺς ἐγχωρίους τὰ περὶ τὴν τοξείαν.[20] Ἀπόλλωνος δὲ καὶ Κορωνίδος Ἀσκληπιὸν γεννηθέντα, καὶ πολλὰ παρὰ τοῦ πατρὸς τῶν[15] εἰς ἰατρικὴν μαθόντα, προςεξευρεῖν τήν τε χειρουργίαν, καὶ τὰς τῶν φαρμάκων σκευασίας, καὶ ῥιζῶν δυνάμεις, καὶ καθόλου προβιβάσαι τὴν τέχνην ἐπὶ τοσοῦτον, ὥστε ἀρχηγὸν αὐτῆς καὶ κτίστην τιμᾶσθαι.

15°. Gram. § 128. Rem. 1. p. 261.—16°. equivalent to *καὶ ἀπὸ τούτων*.—17°. instead of *ἁπάντων ἅ*.—18°. in diseases which were regarded as the effects of the displeasure of the gods, and of course could only be cured by consulting them.—19°. *συνέβαινε τυγχάνειν* is a paraphrastic expression; the phrase is equivalent to *οἱ ἀῤῥωστοῦντες ἐτύγχανον θεραπείας*.—20°. Gram. § 125. Rem. 3. p. 256.

10. *Τῷ δ' Ἑρμῇ προσάπτουσι τὰς ἐν τοῖς πολέμοις γινομένας ἐπικηρυκείας καὶ διαλλαγὰς καὶ σπονδάς. Φασὶ δ' αὐτὸν καὶ μέτρα καὶ σταθμὰ, καὶ τὰ ἐκ τῆς ἐμπορίας κέρδη πρῶτον ἐπινοῆσαι, καὶ τὸ λάθρα τὰ τῶν ἄλλων*[22] *σφετερίζεσθαι. Εἰσηγητὴν δ' αὐτὸν καὶ παλαίστρας γενέσθαι, καὶ τὴν ἀπὸ τῆς χελώνης λύραν*[23] *ἐπινοῆσαι. Διόνυσον δὲ μυθολογοῦσιν εὑρετὴν γενέσθαι τῆς ἀμπέλου, καὶ τῆς περὶ ταύτην ἐργασίας, ἔτι δ' οἰνοποιΐας, καὶ τοῦ πολλοὺς τῶν ἐκ τῆς ὀπώρας καρπῶν ἀποθησαυρίζειν.*[24]

11. *Αἱ Μοῦσαι Διὸς καὶ Μνημοσύνης θυγατέρες εἶναι λέγονται. Ἡσίοδος τὰ ὀνόματα αὐτῶν ἀποφαίνεται οὕτως·*

Κλειώ τ', Εὐτέρπη τε, Θάλειά τε, Μελπομένη τε,
Τερψιχόρη τ', Ἐρατώ τε, Πολύμνιά τ'. Οὐρανίη τε,
Καλλιόπη θ', ἣ σφεων[25] *προφερεστάτη ἐστὶν ἁπασέων.*

*   *   *

12. *Ὁ πολὺς ὅμιλος, οὓς ἰδιώτας οἱ σοφοὶ καλοῦσιν, Ὁμήρῳ τε καὶ Ἡσιόδῳ πειθόμενοι, τόπον τινὰ ὑπὸ τῇ γῇ πάνυ βαθὺν Ἅιδην ὑπειλήφασι,*[26] *μέγαν τε καὶ πολύχωρον τοῦτον εἶναι, καὶ ζοφερὸν καὶ ἀνήλιον. Βασιλεύειν δὲ τοῦ χάσματος ἀδελφὸν τοῦ Διὸς, Πλούτωνα κεκλημένον.*[27] *Περιῤῥεῖσθαι δὲ τὴν χώραν αὐτοῦ ποταμοῖς μεγάλοις τε καὶ φοβεροῖς, καὶ*[28] *ἐκ μόνων τῶν ὀνομάτων· Κωκυτοὶ γὰρ, καὶ Πυριφλεγέθοντες, καὶ τὰ τοιαῦτα*[29] *κέκληνται. Τὸ δὲ μεγιστον,*[30] *ἡ Ἀχερουσία λίμνη πρόκειται, πρώτη δεχομένη τοὺς ἀπαντῶντας, ἣν*

22°. equivalent to *τὰ ἀλλότρια*.—23°. See page 102, No. III.—24°. The construction is, *τοῦ ἀποθησαυρίζειν*. Gram. § 126. 6. p. 257.—25°. for *αὐτῶν*.—26°. *ὑπολαμβάνω*.—27°. *καλέω*.—28°. *even*.—29°. *ὀνόματα* understood.—30°. absolutely, *but what is the chief thing*. Gram. § 131. Rem. 4. p. 266.

οὐκ ἔνι[31] διαπλεῦσαι, ἢ παρελθεῖν, ἄνευ τοῦ πορθμέως. Πρὸς δὲ αὐτῇ τῇ καθόδῳ καὶ πύλῃ, οὔσῃ ἀδαμαντίνῃ, ἀδελφιδοῦς τοῦ βασιλέως[32] Αἰακός ἐστι, τὴν φρουρὰν ἐπιτετραμμένος,[33] καὶ παρ' αὐτῷ κύων τρικέφαλος. Περαιωθέντας δὲ τὴν λίμνην λειμὼν ὑποδέχεται μέγας, καὶ ποτὸν, μνήμης πολέμιον. Λήθης γοῦν διὰ τοῦτο ὠνόμασται. Ὁ μὲν οὖν Πλούτων καὶ ἡ Περσεφόνη δυναστεύουσιν, ὑπηρετοῦσι δ' αὐτοῖς Ἐριννύες, καὶ Φόβοι, καὶ Ἑρμῆς. Δικασταὶ δὲ κάθηνται δύο, Μίνως τε καὶ Ῥαδάμανθυς, Κρῆτες ὄντες, καὶ υἱοὶ τοῦ Διός. Οὗτοι δὲ τοὺς μὲν ἀγαθοὺς τῶν ἀνδρῶν καὶ δικαίους πέμπουσιν ἐς τὸ Ἠλύσιον πεδίον, τῷ ἀρίστῳ βίῳ συνεσομένους· τοὺς δὲ πονηροὺς ταῖς Ἐριννύσι παραδόντες, ἐς τὸν τῆς κολάσεως χῶρον ἐκπέμπουσιν.

13. Ὁ Κέρβερος, ὁ τοῦ ᾅδου φρουρὸς, εἶχε τρεῖς μὲν κυνῶν κεφαλὰς, τὴν δὲ οὐρὰν δράκοντος, κατὰ δὲ τοῦ νώτου παντοίων ὄφεων κεφαλάς.—14. Ὁ Τάρταρος τόπος ἐστὶν ἐρεβώδης ἐν ᾅδου τοσοῦτον ἀπὸ γῆς ἔχων διάστημα, ὅσον ἀπ' οὐρανοῦ γῆ.

MYTHOLOGICAL NARRATIONS.

I. APOLLO AND DIANA.

1. Λητὼ, ἡ τοῦ Κοίου θυγάτηρ, κατὰ τὴν γῆν ἅπασαν ὑφ' Ἥρας ἠλαύνετο, μέχρις εἰς Δῆλον ἐλθοῦσα, γεννᾷ πρώτην Ἄρτεμιν· ὑφ' ἧς μαιωθεῖσα, ὕστερον Ἀπόλλωνα ἐγέννησεν.—Ἄρτεμις μὲν οὖν, τὰ περὶ

31°. ἔνεστι, Gram. § 117. II. 2. p. 236.—32°. that is, Πλούτωνος.—33°. ἐπιτρέπω· ᾧ ἡ φρουρὰ ἐπιτέτραπται, Gram. § 134. 4. p. 272.

θήραν[1] ἀσκήσασα, παρθένος ἔμεινεν. Ἀπόλλων δὲ, τὴν μαντικὴν μαθὼν παρὰ τοῦ Πανὸς, ἧκεν εἰς Δελφοὺς, χρησμῳδούσης τότε Θέμιδος. Ὡς δὲ ὁ φρουρῶν τὸ μαντεῖον Πύθων ὄφις ἐκώλυεν αὐτὸν προσελθεῖν ἐπὶ τὸ χάσμα,[2] τοῦτον ἀνελὼν τὸ μαντεῖον παραλαμβάνει.

2. Ἀπόλλων Ἀδμήτῳ, τῷ βασιλεῖ τῶν Φερῶν ἐν Θεσσαλίᾳ, ἐθήτευσε, καὶ ᾐτήσατο παρὰ Μοιρῶν ἵνα, ὅταν Ἄδμητος μέλλῃ[3] τελευτᾷν, ἀπολυθῇ τοῦ θανάτου, ἂν ἑκουσίως τις ὑπὲρ αὐτοῦ θνήσκειν ἕληται. Ὡς δὲ ἦλθεν ἡ τοῦ θνήσκειν ἡμέρα, μήτε τοῦ πατρὸς, μήτε τῆς μητρὸς ὑπὲρ αὐτοῦ θνήσκειν θελόντων, Ἄλκηστις, ἡ αὐτοῦ ἄλοχος, ὑπεραπέθανεν.[4] Καὶ αὐτὴν πάλιν ἀνέπεμψεν ἡ Κόρη·[5] ὡς δὲ ἔνιοι λέγουσιν, Ἡρακλῆς μαχεσάμενος τῷ Θανάτῳ.

3. Ἀπόλλων καὶ Ποσειδῶν, τὴν Λαομέδοντος ὕβριν πειράσαι θέλοντες, εἰκασθέντες ἀνθρώποις, ὑπέσχοντο[6] ἐπὶ μισθῷ τειχιεῖν[7] τὸ Πέργαμον· τοῖς δὲ τειχίσασι τὸν μισθὸν οὐκ ἀπεδίδου. Διὰ τοῦτο Ἀπόλλων μὲν λοιμὸν ἔπεμψε, Ποσειδῶν δὲ κῆτος, ὃ τοὺς ἐν τῷ πεδίῳ συνήρπαζεν ἀνθρώπους. Χρησμῶν δὲ λεγόντων, ἀπαλλαγὴν ἔσεσθαι τῶν συμφορῶν ἐὰν προθῇ Λαομέδων Ἡσιόνην, τὴν θυγατέρα αὐτοῦ, βορὰν τῷ κήτει, οὗτος προὔθηκε,[8] ταῖς πλησίον τῆς θαλάσσης πέτραις προσαρτήσας αὐτήν. Ταύτην ἰδὼν ἐκκειμένην Ἡρακλῆς, ὑπέσχετο[6] σώσειν αὐτὴν, εἰ τὰς ἵππους παρὰ Λαομέδοντος λήψεται,[9] ἃς ὁ Ζεὺς ποινὴν τῆς Γανυμήδους ἁρπαγῆς ἔδωκεν αὐτῷ· δώσειν δὲ Λαομέδοντος εἰπόντος, κτείνας τὸ κῆτος Ἡσιόνην ἔσωσε. Μὴ βουλομένου[10] δὲ τὸν

1°. *τὰ περὶ θήραν, the chase, and whatever regards it.* Gram. § 125. Rem. 3. p. 256.—2°. *the hole* in the rock, over which the sacred tripod stood.—3°. *moriturus esset.*—4°. ὑπεραποθνήσκω.—5°. that is, ἡ Περσεφόνη.—6°. ὑπισχνέομαι.—7°. τειχίζω.—8°. instead of προέθηκε.—9°. λαμβάνω.—10°. αὐτοῦ understood.

μισθὸν ἀποδοῦναι, Ἡρακλῆς αὐτὸν ἀπέκτεινε, καὶ τὴν πόλιν εἷλεν.

4. Τάνταλος μὲν Διὸς ἦν παῖς, πλούτῳ δὲ καὶ δόξῃ διαφέρων, κατῴκει τῆς Ἀσίας περὶ τὴν νῦν ὀνομαζομένην Παφλαγονίαν. Διὰ δὲ τὴν εὐγένειαν, ὥς φασι, φίλος ἐγένετο τῶν θεῶν ἐπὶ πλεῖον.[11] Ὕστερον δὲ τὴν εὐτυχίαν οὐ φέρων, καὶ μετασχὼν κοινῆς τραπέζης καὶ πάσης παῤῥησίας,[12] ἀπήγγελλε τοῖς ἀνθρώποις τὰ παρὰ τοῖς ἀθανάτοις ἀπόῤῥητα. Δι' ἣν αἰτίαν καὶ ζῶν ἐκολάσθη, καὶ τελευτήσας αἰωνίου τιμωρίας ἠξιώθη, καταχθεὶς εἰς τοὺς ἀσεβεῖς.[13]—Τούτου δ' ἐγένετο Πέλοψ υἱὸς καὶ Νιόβη θυγάτηρ. Αὕτη δ' ἐγέννησεν υἱοὺς ἑπτὰ, καὶ θυγατέρας τὰς ἴσας,[14] εὐπρεπείᾳ διαφερούσας. Ἐπὶ δὲ τῷ πλήθει τῶν τέκνων μέγα φρυαττομένη, πλεονάκις ἐκαυχᾶτο, καὶ τῆς Λητοῦς ἑαυτὴν εὐτεκνωτέραν ἀπεφαίνετο. Εἶθ' ἡ μὲν Λητὼ χολωσαμένη, προσέταξε τῷ μὲν Ἀπόλλωνι, κατατοξεῦσαι τοὺς υἱοὺς τῆς Νιόβης, τῇ δ' Ἀρτέμιδι, τὰς θυγατέρας. Τούτων δ' ὑπακουσάντων τῇ μητρὶ, καὶ κατὰ τὸν αὐτὸν καιρὸν κατατοξευσάντων τὰ τέκνα τῆς Νιόβης, συνέβη αὐτὴν ὑφ' ἕνα καιρὸν ὀξέως ἅμα εὔτεκνον καὶ ἄτεκνον γενέσθαι.[15]—5. Νιόβη δὲ Θήβας ἀπολιποῦσα, πρὸς τὸν πατέρα Τάνταλον ἧκεν εἰς Σίπυλον τῆς Ἀσίας· κἀκεῖ[16] Διῒ εὐξαμένη, τὴν μορφὴν εἰς λίθον μετέβαλε, καὶ χεῖται δάκρυα νύκτωρ καὶ μεθ' ἡμέραν.

6. Ἀκταίων, Αὐτονόης καὶ Ἀρισταίου παῖς, τραφεὶς παρὰ Χείρωνι κυνηγὸς[17] ἐδιδάχθη, καὶ ὕστερον κατε-

---

11°. πολύς· *exceedingly.*—12°. Gram. § 132, 3, b). (3). p. 267.—13°. that is, the abode of *the impious.*—14°. τὰς ἴσας, *the same number of daughters.* Her spouse was Amphion, the Theban.—15°. See above, 9. 19°. p. 95.—15°. that is, καὶ ἐκεῖ.-17°. The English idiom conforms with this; *was brought up a hunter*

ϐρώθη[18] ἐν τῷ Κιθαιρῶνι ὑπὸ τῶν ἰδίων κυνῶν. Καὶ τοῦτον ἐτελεύτησε τὸν τρόπον, ὅτι τὴν Ἄρτεμιν λϐομένην εἶδε. Καὶ φασὶ, τὴν θεὸν παραχρῆμα αὐτοῦ τὴν μορφὴν εἰς ἔλαφον[19] ἀλλάξαι, καὶ τοῖς ἑπομένοις αὐτῷ πεντήκοντα κυσὶν ἐμϐαλεῖν λύσσαν, ὑφ᾽ ὧν κατὰ ἄγνοιαν ἐϐρώθη·[18] ἀπολομένου δὲ Ἀκταίωνος, οἱ κύνες ἐπιζητοῦντες τὸν δεσπότην, κατωρύοντο, καὶ ζήτησιν ποιούμενοι, παρεγένοντο ἐπὶ τὸ τοῦ Χείρωνος ἄντρον, ὃς εἴδωλον κατεσκεύασεν Ἀκταίωνος, ὃ καὶ τὴν λύπην αὐτῶν ἔπαυσεν.

7. Ἀσκληπιὸς Ἀπόλλωνος παῖς ἦν καὶ Κορωνίδος. Τοῦτον, τῆς αὐτοῦ μητέρος ἀποθανȣ́σης, ἔτι βρέφος ὄντα, πρὸς Χείρωνα τὸν Κένταυρον ἤνεγκεν Ἀπόλλων, παρ᾽ ᾧ καὶ τὴν ἰατρικὴν καὶ τὴν κυνηγετικὴν τρεφόμενος ἐδιδάχθη. Καὶ γενόμενος χειρουργικὸς, καὶ τὴν τέχνην ἀσκήσας ἐπὶ πολὺ,[20] ȣ̓ μόνον ἐκώλυέ τινας ἀποθνήσκειν, ἀλλ᾽ ἀνήγειρε καὶ τȣ̀ς ἀποθανόντας. Ζεὺς δὲ φοϐηθεὶς, μὴ[21] λαϐόντες οἱ ἄνθρωποι θεραπείαν παρ᾽ αὐτȣ͂, βοηθῶσιν ἀλλήλοις,[22] ἐκεραύνωσεν αὐτόν· καὶ διὰ τȣ͂το ὀργισθεὶς Ἀπόλλων κτείνει Κύκλωπας, τȣ̀ς τὸν κεραυνὸν Διῒ κατασκευάσαντας. Ζεὺς δὲ ἐμέλλησε ῥίπτειν αὐτον εἰς Τάρταρον· δεηθείσης δὲ Λητȣ͂ς, ἐκέλευσεν αὐτὸν ἐνιαυτὸν[23] ἀνδρὶ θητεῦσαι. Ὁ δὲ παραγενόμενος εἰς Φερὰς πρὸς Ἄδμητον, τὸν Φέρητος, τȣ́τῳ λατρεύων ἐποίμαινε, καὶ τὰς θηλείας βόας πάσας διδυματόκους ἐποίησεν.

18°. καταϐρώσκω or καταϐιϐρώσκω.—19°. instead of εἰς ἐλάφου μορφήν.—20°. *very zealously*.—21°. Gram. § 149. 4. p. 306.—22°. He feared lest they might aid each other, instead of resorting to the gods.—23°. Gram. § 131. 8. p. 266.

II. BACCHUS.

1. Λυκοῦργος, παῖς Δρύαντος, Ἠδωνῶν βασιλεύων οἳ Στρυμόνα ποταμὸν παροικοῦσιν, ἐξέβαλε Διόνυσον σὺν ταῖς Βάκχαις εἰς Θρᾴκην ἐλθόντα. Καὶ Διόνυσος μὲν εἰς θάλασσαν πρὸς Θέτιν, τὴν Νηρέως, κατέφυγε, Βάκχαι δὲ ἐγένοντο αἰχμάλωτοι, καὶ τὸ αὐτῷ συνεπόμενον Σατύρων πλῆθος. Αἱ δὲ Βάκχαι ἐλύθησαν ἐξαίφνης, Λυκούργῳ δὲ μανίαν ἐνεποίησε Διόνυσος. Ὁ δὲ μεμηνὼς[1] Δρύαντα τὸν παῖδα, ἀμπέλου νομίζων κλῆμα κόπτειν, πελέκει πλήξας ἀπέκτεινε, καὶ ἀκρωτηριάσας ἑαυτὸν ἐσωφρόνησε. Τῆς δὲ γῆς ἀκάρπου μενούσης, ἔχρησεν ὁ θεὸς, καρποφορήσειν αὐτὴν ἂν θανατωθῇ Λυκοῦργος. Ἠδωνοὶ δὲ ἀκούσαντες, εἰς τὸ Παγγαῖον αὐτὸν ἀπαγαγόντες ὄρος, ἔδησαν· κἀκεῖ κατὰ Διονύσου βούλησιν ὑφ' ἵππων διαφθαρεὶς[2] ἀπέθανεν.

2. Διελθὼν δὲ Θρᾴκην, καὶ τὴν Ἰνδικὴν ἅπασαν, στήλας ἐκεῖ στήσας, ἧκεν εἰς Θήβας, καὶ τὰς γυναῖκας ἠνάγκασε καταλιπούσας τὰς οἰκίας βακχεύειν ἐν τῷ Κιθαιρῶνι. Πενθεὺς δὲ, Ἐχίονος υἱὸς, παρὰ Κάδμου εἰληφὼς[3] τὴν βασιλείαν, διεκώλυε ταῦτα γίγνεσθαι, καὶ παραγενόμενος εἰς Κιθαιρῶνα, τῶν Βακχῶν κατάσκοπος, ὑπὸ τῆς μητρὸς Ἀγαύης κατὰ μανίαν ἐμελεΐσθη.[4] Ἐνόμισε γὰρ αὐτὸν θηρίον εἶναι.

3. Βουλόμενος δὲ ἀπὸ τῆς Ἰκαρίας εἰς Νάξον διακομισθῆναι, Τυῤῥηνῶν λῃστρικὴν ἐμισθώσατο τριήρη· οἱ δὲ αὐτὸν ἐνθέμενοι, Νάξον μὲν παρέπλεον, ἠπείγοντο[5] δὲ εἰς τὴν Ἀσίαν ἀπεμπωλήσοντες.[6] Ὁ δὲ τὸν μὲν ἱστὸν καὶ τὰς κώπας ἐποίησεν ὄφεις, τὸ δὲ σκάφος ἔπλησε

1°. μαίνω.—2°. διαφθείρω.—3°. λαμβάνω.—4°. μελεΐζω.—5°. ἐπείγω.—6°. ἀπεμπολάω. The future indicates 'design.' Gram. § 145. 3. p. 295.

κισσοῦ καὶ βοῆς αὐλῶν· οἱ δὲ[7] ἐμμανεῖς γενόμενοι, κατὰ τῆς θαλάσσης ἔφυγον, καὶ ἐγένοντο δελφῖνες.

4. Ἰκάριος τὸν Διόνυσον, εἰς τὴν Ἀττικὴν ἐλθόντα, ὑπεδέξατο, καὶ λαμβάνει παρ' αὐτοῦ κλῆμα ἀμπέλου. Καὶ τὰ περὶ τὴν οἰνοποιΐαν[8] μανθάνων, καὶ τὰς τοῦ θεοῦ δωρήσασθαι θέλων χάριτας ἀνθρώποις, ἀφικνεῖται πρός τινας ποιμένας, οἳ γευσάμενοι τοῦ ποτοῦ, καὶ χωρὶς ὕδατος δι' ἡδονὴν ἀφειδῶς ἑλκύσαντες, πεφαρμάχθαι νομίζοντες, ἀπέκτειναν αὐτόν. Μεθ' ἡμέραν δὲ νοήσαντες,[9] ἔθαψαν αὐτόν. Ἠριγόνῃ δὲ τῇ θυγατρὶ, τὸν πατέρα μαστευούσῃ, κύων συνήθης, ὄνομα Μαῖρα, ἣ τῷ Ἰκαρίῳ συνείπετο, τὸν νεκρὸν ἐμήνυσε· κἀκείνη[10] ὀδυρομένη τὸν πατέρα, ἑαυτὴν ἀνήρτησεν.

III. MERCURY.

1. Ἑρμῆς, Μαίας καὶ Διὸς υἱὸς, ἔτι ἐν σπαργάνοις ὢν, ἐκδὺς, εἰς Πιερίαν παραγίγνεται, καὶ κλέπτει βόας, ἃς ἔνεμεν Ἀπόλλων. Ἵνα δὲ μὴ φωραθείη ὑπὸ τῶν ἰχνῶν, ὑποδήματα τοῖς ποσὶ[1] περιέθηκε, καὶ κομίσας εἰς Πύλον, εἰς σπήλαιον ἀπέκρυψε. Καὶ ταχέως εἰς Κυλλήνην ᾤχετο, καὶ εὑρίσκει πρὸ τοῦ ἄντρȣ νεμομένην χελώνην. Ταύτην ἐκκαθάρας,[2] εἰς τὸ κύτος χορδὰς ἐντείνας, λύραν εὗρε καὶ πλῆκτρον.—Ἀπόλλων δὲ τὰς βόας ζητῶν, εἰς Πύλον ἀφικνεῖται, καὶ τοὺς κατοικοῦντας ἀνέκρινεν.[3] Οἱ δὲ ἰδεῖν μὲν παῖδα ἐλαύνοντα ἔφασκον, οὐκ ἔχειν δὲ εἰπεῖν, ποῖ ποτε ἠλάθησαν,[4] διὰ τὸ μὴ εὑρεῖν ἴχνος δύνασθαι.[5] Μαθὼν δὲ ἐκ τῆς μαντικῆς τὸν

7°. *οἱ δὲ*, that is, *οἱ ναῦται*.—8°. *the making of wine*. See above, I. 1. 1°. p. 98.—9°. *τὸ πεπραγμένον* understood.—10°. that is, *καὶ ἐκείνη*.

1°. *τῶν βοῶν* understood.—2°. *ἐκκαθαίρω*.—3°. *εἰ τους βόας ἴδοιεν*.—4°. *ἐλαύνω*.—5°. The construction is, *διὰ τὸ μὴ δύνασθαι εὑρεῖν ἴχνος*. Gram. § 141. 5. Rem. 1. p. 289.

κεκλοφότα,[6] πρὸς Μαῖαν εἰς Κυλλήνην παραγίγνεται, καὶ τὸν Ἑρμῆν ᾐτιᾶτο· ἡ δὲ ἀπέδειξεν αὐτὸν ἐν τοῖς σπαργάνοις. Ἀπόλλων δὲ αὐτὸν τὸν παῖδα πρὸς Δία κομίσας, τὰς βόας ἀπῄτει. Διὸς δὲ κελεύοντος ἀποδοῦναι, ἠρνεῖτο.[7] Μὴ πείθων δὲ, ἄγει τὸν Ἀπόλλωνα εἰς Πύλον, καὶ τὰς βόας ἀποδίδωσιν.—Ἀκȣ́σας δὲ τῆς λύρας ὁ Ἀπόλλων, ἀντιδίδωσι τὰς βόας.[8] Ἑρμῆς δὲ ταύτας νέμων, σύριγγα πηξάμενος[9] ἐσύριζεν. Ἀπόλλων δὲ καὶ ταύτην βȣλόμενος λαβεῖν, τὴν χρυσῆν ῥάβδον ἐδίδου αὐτῷ, ἣν ἐκέκτητο βουκολῶν, καὶ τὴν μαντικὴν ἐδιδάξτο αὐτόν.[10] Ζεὺς δὲ αὐτὸν κήρυκα ἑαυτοῦ καὶ θεῶν ὑποχθονίων τίθησιν.

IV. MINERVA.

1. Κέκροψ αὐτοχθὼν, συμφυὲς ἔχων σῶμα ἀνδρὸς καὶ δράκοντος, τῆς Ἀττικῆς ἐβασίλευσε πρῶτος, καὶ τὴν γῆν πρότερον λεγομένην Ἀκτὴν, ἀφ᾽ ἑαυτοῦ Κεκροπίαν ὠνόμασεν. Ἐπὶ τούτȣ,[1] φασὶν, ἔδοξε τοῖς θεοῖς πόλεις καταλαβέσθαι, ἐν αἷς ἔμελλον[2] ἔχειν τιμὰς ἰδίας ἕκαστος. Ἧκεν οὖν πρῶτος Ποσειδῶν ἐπὶ τὴν Ἀττικὴν, καὶ πλήξας τῇ τριαίνῃ, κατὰ μέσην τὴν ἀκρόπολιν ἀνέφηνε θάλασσαν,[3] ἣν νῦν Ἐρεχθηΐδα καλοῦσι. Μετὰ δὲ τοῦτον ἧκεν Ἀθηνᾶ καὶ ἐφύτευσεν ἐλαίαν, ἣ νῦν ἐν τῷ Πανδροσίῳ[4] δείκνυται. Γενομένης δὲ ἔριδος ἀμφοῖν περὶ τῆς χώρας, Ἀθηνᾶν καὶ Ποσειδῶνα διαλύσας Ζεὺς, κριτὰς ἔδωκε θεοὺς τοὺς δώδεκα.

6°. κλέπτω.—7°. ἔχειν αὐτὰς understood.—8°. that is, in recompense for the lyre.—9°. πήγνυμι.—10°. Gram. § 131. 5. p. 265.

1°. *under his reign.*—2°. *habituri essent :* ἔμελλον in the plural agrees with ἕκαστος in the singular as a *collective.*—3°. What is here called a sea was properly a salt spring.—4°. a chapel in one of the temples of Minerva, in the Athenian Acropolis.

Καὶ τούτων δικαζόντων, ἡ χώρα τῆς Ἀθηνᾶς ἐκρίθη, Κέκροπος μαρτυρήσαντος, ὅτι πρῶτον τὴν ἐλαίαν ἐφύτευσεν. Ἀθηνᾶ μὲν οὖν ἀφ᾽ ἑαυτῆς τὴν πόλιν ἐκάλεσεν Ἀθήνας· Ποσειδῶν δὲ, μενῷ ὀργισθεὶς, τὸ Θριάσιον πεδίον ἐπέκλυσε[5] καὶ τὴν Ἀττικὴν ὕφαλον ἐποίησεν.

2. Ἦν παρὰ Θηβαίοις μάντις Τειρεσίας Εὐήρους καὶ Χαρικλοῦς νύμφης, γενόμενος τυφλὸς τοὺς ὀφθαλμούς.[6] Οὗ περὶ τῆς πηρώσεως καὶ μαντικῆς, λόγοι λέγονται διάφοροι. Ἄλλοι μὲν γὰρ αὐτὸν ὑπὸ τῶν θεῶν φασὶ τυφλωθῆναι, ὅτι τοῖς ἀνθρώποις, ἃ κρύπτειν ἤθελον,[7] ἐμήνυεν· ἄλλοι δὲ, ὑπὸ Ἀθηνᾶς αὐτὸν τυφλωθῆναι, ὅτι αὐτὴν γυμνὴν ἐν λουτρῷ εἶδε. Χαρικλῦς δὲ δεομένης τὴν θεὸν, ἦν δὲ προςφιλὴς τῇ Ἀθηνᾷ ἡ Χαρικλὼ, ἀποκαταστῆσαι πάλιν τοὺς ὀφθαλμὺς, μὴ δυναμένη τῦτο ποιῆσαι, τὰς ἀκοὰς[8] διακαθάρασα, πᾶσαν ὀρνίθων φωνὴν ἐποίησε συνιέναι. καὶ σκῆπτρον αὐτῷ ἐδωρήσατο, ὃ φέρων ὁμοίως[9] τοῖς βλέπουσιν ἐβάδιζεν.

V. HERCULES.

1. Πρῶτα μὲν ἐν Νεμέᾳ βριαρὸν κατέπεφνε λέοντα.
Δεύτερον, ἐν Λέρνῃ πολυαύχενον ἔκταν ὕδραν.
Τὸ τρίτον αὖτ᾽ ἐπὶ τοῖς[1] Ἐρυμάνθιον ἔκτανε κάπρον.
Χρυσόκερων ἔλαφον μετὰ ταῦτ᾽ ἤγρευσε τέταρτον.
Πέμπτον, δ᾽, ὄρνιθας Στυμφαλίδας ἐξεδίωξεν.
Ἕκτον, Ἀμαζονίδος κόμισε ζωστῆρα φαεινόν.
Ἕβδομον, Αὐγείου πολλὴν κόπρον ἐξεκάθηρεν.

5°. ἐπικλύζω.—6°. Gram. § 131. 6. p. 265.—7°. οἱ θεοὶ understood.—8°. τοῦ Τειρεσίου.—9°. *as well as those who see.* Gram. § 133. 2. b). p. 270.

1°. that is, ἐπὶ τούτοις τοῖς ἄθλοις.

Ὄγδοον, ἐκ Κρήτης δὲ πυρίπνοον ἤλασε[1] ταῦρον.
Εἴνατον, ἐκ Θρῄκης Διομήδεος ἤγαγεν ἵππους.
Γηρυόνου, δέκατον, βόας ἤλασεν[2] ἐξ Ἐρυθείης.
Ενδέκατον, κύνα Κέρβερον ἤγαγεν ἐξ Ἀΐδαο.[3]
Δωδέκατον δ', ἤνεγκεν[4] ἐς Ἑλλάδα χρύσεα μῆλα.

2. Ἡρακλέα μυθολογοῦσιν ἐκ Διὸς γενέσθαι. Οὗτος, ῥώμῃ σώματος πολὺ τῶν ἁπάντων διενέγκας, ἐπῆλθε τὴν οἰκουμένην, κολάζων μὲν τοὺς ἀδίκους, ἀναιρῶν δὲ τὰ τὴν χώραν ἀοίκητον ποιοῦντα θηρία· πᾶσι δ' ἀνθρώποις τὴν ἐλευθερίαν περιποιήσας, ἀήττητος μὲν ἐγένετο καὶ ἄτρωτος, διὰ δὲ τὰς εὐεργεσίας ἀθανάτου τιμῆς ἔτυχε παρ' ἀνθρώποις.

3. Ἡρακλέος παιδὸς ὄντος ὀκταμηνιαίου, δύο δράκοντας ὑπερμεγέθεις Ἥρα ἐπὶ τὴν αὐτοῦ εὐνὴν ἔπεμψε, διαφθαρῆναι τὸ βρέφος θέλουσα. Ἐπιβοωμένης δὲ Ἀλκμήνης Ἀμφιτρύωνα, Ἡρακλῆς διαναστὰς ἄγχων ἑκατέραις ταῖς χερσὶν αὐτὸς διέφθειρεν.—4. Εὐρυσθεὺς ἐπέταξε τῷ Ἡρακλεῖ τοῦ Νεμέου λέοντος τὴν δορὰν κομίζειν. Τοῦτο δὲ ζῶον ἦν ἄτρωτον, ἐκ Τυφῶνος γεγεννημένον. Πορευόμενος οὖν ἐπὶ τὸν λέοντα, καὶ εἰς τὴν Νεμέαν ἀφικόμενος, τὸν λέοντα ἐτόξευσε πρῶτον. Ὡς δὲ ἔμαθεν ἄτρωτον ὄντα,[5] τῷ ῥοπάλῳ ἐδίωκε. Φυγόντος δὲ τοῦ λέοντος εἰς ἀμφίστομον σπήλαιον αὐτοῦ, Ἡρακλῆς τὴν ἑτέραν ἀπῳκοδόμησεν εἴσοδον, διὰ δὲ τῆς ἑτέρας ἐπεισῆλθε τῷ θηρίῳ, καὶ περιθεὶς τὴν χεῖρα τῷ τραχήλῳ, κατέσχεν ἄγχων, ἕως ἔπνιξε, καὶ θέμενος ἐπὶ τῶν ὤμων, ἐκόμιζεν εἰς Μυκήνας.—

2°. ἐλαύνω.—3°. for ᾅδου by the ancient epic dialect. See Gram. § 34. IV. 2. p. 40. and § 1. 10. p. 4.—4°. φέρω.

5°. from the circumstance that the arrows did not penetrate. With respect to this use of the participle, see Gram. § 145. 4. and 4. b). p. 296.

5. Ἕκτον ἐπέταξεν ἆθλον αὐτῷ τὰς Στυμφαλίδας ὄρνιθας ἐκδιῶξαι. Ἦν δὲ ἐν Στυμφάλῳ, πόλει τῆς Ἀρκαδίας, Στυμφαλὶς λεγομένη λίμνη, πολλῇ συνηρεφὴς ὕλῃ. Εἰς ταύτην ὄρνεις συνέφυγον ἄπλετοι. Ἀμηχανοῦντος οὖν Ἡρακλέος, πῶς ἐκ τῆς ὕλης τὰς ὄρνιθας ἐκβάλῃ, χάλκεα πρόταλα δίδωσιν αὐτῷ Ἀθηνᾶ, παρ' Ἡφαίστου λαβοῦσα. Ταῦτα κρούων ἐπί τινος ὄρους τῇ λίμνῃ παρακειμένου, τὰς ὄρνιθας ἐφόβει. Αἱ δὲ τὸν δοῦπον οὐχ ὑπομένουσαι, μετὰ δέους ἀνίπταντο, καὶ τοῦτον τὸν τρόπον Ἡρακλῆς ἐτόξευσεν αὐτάς.

6. Λιβύης ἐβασίλευε παῖς Ποσειδῶνος, Ἀνταῖος, ὃς τοὺς ξένους ἀναγκάζων παλαίειν ἀνῄρει. Τούτῳ δὲ παλαίειν ἀναγκαζόμενος Ἡρακλῆς, ἀράμενος ἅμμασι μετέωρον ἀπέκτεινε· ψαύοντα γὰρ γῆς ἰσχυρότατον συνέβη γίγνεσθαι.[6] Διὸ καὶ Γῆς τινες ἔφασαν τοῦτον εἶναι παῖδα.—7. Μετὰ Λιβύην Ἡρακλῆς Αἴγυπτον διεξῄει.[7] Ταύτης ἐβασίλευε Βούσιρις, Ποσειδῶνος παῖς. Οὗτος τὸς ξένους ἔθυεν ἐπὶ βωμῷ Διὸς, κατά τι λόγιον. Ἐννέα γὰρ ἔτη ἀφορία τὴν Αἴγυπτον κατέλαβε. Θράσιος δὲ ἐλθὼν ἐκ Κύπρου, μάντις τὴν ἐπιστήμην,[8], ἔφη, τὴν ἀφορίαν παύσεσθαι, ἐὰν ξένον ἄνδρα τῷ Διῒ σφάξωσι κατ' ἔτος. Βούσιρις δὲ ἐκεῖνον πρῶτον σφάξας τὸν μάντιν, πάντας τοὺς κατιόντας ξένους ἔσφαζε. Συλληφθεὶς οὖν καὶ Ἡρακλῆς τοῖς βωμοῖς προσεφέρετο· τὰ δὲ δεσμὰ διαῤῥήξας, τόν τε Βούσιριν καὶ τὸν ἐκείνου παῖδα Ἀμφιδάμαντα ἀπέκτεινεν.

8. Μεταστάντος δὲ Ἡρακλέους εἰς θεοὺς, οἱ παῖδες αὐτοῦ, φυγόντες Εὐρυσθέα, ἦλθον εἰς Ἀθήνας, καὶ καθεσθέντες[9] ἐπὶ τὸν Ἐλέου βωμὸν, ἠξίουν[10] βοηθεῖσθαι.

6°. See above, 9. 19°. p. 95.—7°. *διέξειμι.*—8°. Gram. § 131. 6. Rem. 2. p. 265.—9°. *καθέζω.*—10°. *ἀξιόω, prayed for protection.*

Εὐρυσθέως δὲ ἐκείνους ἐκδιδόναι λέγοντος,[11] *καὶ πόλεμον ἀπειλοῦντος, οἱ Ἀθηναῖοι οὐκ ἐκδιδόντες αὐτοὺς πόλεμον πρὸς αὐτὸν ὑπέστησαν. Καὶ τοὺς μὲν παῖδας αὐτοῦ ἀπέκτειναν· αὐτὸν δὲ Εὐρυσθέα φεύγοντα ἐφ᾽ ἅρματος κτείνει διώξας Ὕλλος, καὶ τὴν μὲν κεφαλὴν ἀποτεμὼν, Ἀλκμήνῃ δίδωσιν· ἡ δὲ κερκίσι τοὺς ὀφθαλμοὺς ἐξώρυξεν αὐτοῦ.*

VI. EXPEDITION OF THE ARGONAUTS.

1. *Φρίξον, τὸν Ἀθάμαντος, μυθολογοῦσι, διὰ τὰς ἀπὸ τῆς μητρυιᾶς*[1] *ἐπιβουλὰς ἀναλαβόντα τὴν ἀδελφὴν Ἕλλην, φυγεῖν ἐκ τῆς Ἑλλάδος. Περαιουμένων*[2] *δὲ αὐτῶν κατά τινα θεῶν πρόνοιαν ἐκ τῆς Εὐρώπης εἰς τὴν Ἀσίαν ἐπὶ κριοῦ χρυσομάλλου, τὴν μεν παρθένον ἀποπεσεῖν εἰς τὴν θάλασσαν, ἣν*[3] *ἀπ᾽ ἐκείνης Ἑλλήσποντον ὀνομασθῆναι· τὸν δὲ Φρίξον εἰς τὸν Πόντον πορευθέντα κατενεχθῆναι*[4] *μὲν πρὸς τὴν Κολχίδα, κατά τέ τι λόγιον θύσαντα τὸν κριὸν, ἀναθεῖναι τὸ δέρας εἰς τὸ τοῦ Ἄρεος ἱερόν. Μετὰ δὲ ταῦτα βασιλεύοντι τῆς Κολχίδος Αἰήτῃ χρησμὸν ἐκπεσεῖν,*[5] *ὅτι τότε καταστρέψει τὸν βίον, ὅταν ξένοι καταπλεύσαντες τὸ χρυσόμαλλον δέρας ἀπενέγκωσι.*[6] *Διὰ δὴ ταύτας τὰς αἰτίας, καὶ διὰ τὴν ἰδίαν ὠμότητα καταδεῖξαι θύειν τοὺς ξένους, ἵνα διαδοθείσης τῆς φήμης εἰς ἅπαντα τόπον περὶ τῆς Κόλχων ἀγριότητος, μηδεὶς τῶν ξένων ἐπιβῆναι τολμήσαι*[7] *τῆς χώρας.*

11°. that is, *κελεύοντος.*

1°. Ino. *Ἀπὸ τῆς μητρυιᾶς* instead of *τῆς μητρυιᾶς*, the signification being strengthened by the preposition.—2°. *περαιόω.*—3°. *ἣν* for *καὶ ταύτην* instead of *ἣ ἀπ᾽ ἐκείνης Ἑλλήσποντος ὀνομασθῆναι λέγεται.*—4°. *καταφέρω.*—5°. *ἐκπίπτω.*—6°. *ἀποφέρω.* See Gram. § 140. 10. p. 285.—7°. Gram. § 140. 2. p. 283. The learner will distinguish between *τολμήσαι* and *τολμῆσαι*, according to Gram. § 103. Rem. I. 3. d). Note, p. 154.

2. Τῷ Πελίᾳ, τῆς Ἰώλκου ἐν Θεσσαλίᾳ βασιλεῖ, ἐθέσπισεν ὁ θεὸς, τὸν μονοσάνδαλον φυλάξασθαι. Τὸ μὲν οὖν πρῶτον ἠγνόει τὸν χρησμόν· ὕστερον δὲ αὐτὸν ἔγνω.[8] Τελῶν γὰρ ἐπὶ τῇ θαλάσσῃ Ποσειδῶνι θυσίας, ἄλλους τε πολλοὺς ἐπὶ ταύτῃ, καὶ τὸν Ἰάσονα μετεπέμψατο. Ὁ δὲ πόθῳ γεωργίας ἐν τοῖς χωρίοις διατελῶν, ἔσπευσεν ἐπὶ τὴν θυσίαν. Διαβαίνων δὲ ποταμὸν Ἄναυρον, ἐξῆλθε μονοσάνδαλος, τὸ ἕτερον ἀπολέσας ἐν τῷ ῥείθρῳ πέδιλον. Θεασάμενος δὲ Πελίας αὐτὸν, καὶ τὸν χρησμὸν συμβαλὼν, ἠρώτα προσελθὼν, τί ἂν ἐποίησεν,[9] ἐξουσίαν ἔχων, εἰ λόγιον ἦν αὐτῷ πρός τινος φονευθήσεσθαι τῶν πολιτῶν;[10] Ὁ δὲ ἔφη, Τὸ χρυσόμαλλον δέρας προσέταττον ἂν[11] φέρειν αὐτῷ. Τοῦτο Πελίας ἀκούσας, εὐθὺς ἐπὶ τὸ δέρας ἐλθεῖν ἐκέλευσεν αὐτόν. Τοῦτο δὲ ἐν Κόλχοις ἦν, ἐν Ἄρεος ἄλσει κρεμάμενον ἐκ δρυὸς, ἐφρουρεῖτο δὲ ὑπὸ δράκοντος ἀΰπνου.—Ἐπὶ τοῦτο πεμπόμενος Ἰάσων, Ἄργον παρεκάλεσε τὸν Φρίξου· κἀκεῖνος, Ἀθηνᾶς ὑποθεμένης, πεντηκόντορον ναῦν κατεσκεύασε, τὴν προσαγορευθεῖσαν ἀπὸ τοῦ κατασκευάσαντος Ἀργώ· κατὰ δὲ τὴν πρῷραν ἐνήρμοσεν Ἀθηνᾶ φωνῆεν φηγοῦ τῆς Δωδωνίδος ξύλον· ὡς δὲ ἡ ναῦς κατεσκευάσθη, χρωμένῳ ὁ θεὸς πλεῖν ἐπέτρεψε, συναθροίσαντι τοὺς ἀρίστους τῆς Ἑλλάδος.

3. Οὗτοι ναυαρχοῦντος Ἰάσονος ἀναχθέντες καταντῶσιν εἰς τὴν τῆς Θρᾴκης Σαλμυδησσὸν, ἔνθα ᾤκει Φινεὺς μάντις, τὰς ὄψεις πεπηρωμένος. Τοῦτον οἱ μὲν τὸν Ἀγήνορος εἶναι λέγουσιν, οἱ δὲ Ποσειδῶνος υἱόν· καὶ πηρωθῆναι φασὶν αὐτὸν, οἱ μὲν ὑπὸ θεῶν, ὅτι προὔ-

8°. γιγνώσκω.—9°. *what he would do.*—10°. *to be slain by one of his countrymen.* For πρὸς, see Gram. § 134. Rem. 1. p. 271.—11°. *I would command.*

λεγε τοῖς ἀνθρώποις τὰ μέλλοντα, οἱ δὲ, ὑπὸ Βορέου καὶ τῶν Ἀργοναυτῶν, ὅτι, πεισθεὶς μητρυιᾷ,[12] τοὺς ἰδίους ἐτύφλωσε παῖδας. Ἔπεμψαν δὲ αὐτῷ καὶ τὰς Ἁρπυίας οἱ θεοί. Πτερωταὶ δὲ ἦσαν αὗται, καὶ ἐπειδὴ τῷ Φινεῖ παρετίθετο τράπεζα, ἐξ οὐρανοῦ καθιπτάμεναι, τὰ μὲν πλείονα ἀνήρπαζον, ὀλίγα δὲ ὅσα[13] ὀσμῆς ἀνάπλεα κατέλειπον, ὥστε μὴ δύνασθαι προσενέγκασθαι.[14] Βουλομένοις δὲ τοῖς Ἀργοναύταις τὰ περὶ τοῦ πλοῦ μαθεῖν, ὑποθήσεσθαι τὸν πλοῦν ἔφη, τῶν Ἁρπυιῶν αὐτὸν ἐὰν ἀπαλλάξωσιν. Οἱ δὲ παρέθεσαν αὐτῷ τράπεζαν ἐδεσμάτων. Ἅρπυιαι δὲ ἐξαίφνης σὺν βοῇ καταπτᾶσαι[15] τὴν τροφὴν ἥρπαζον. Θεασάμενοι δὲ οἱ Βορέου παῖδες, Ζήτης καὶ Κάλαϊς, ὄντες πτηρωτοὶ, σπασάμενοι τὰ ξίφη, δι' ἀέρος, ἐδίωκον. Ἦν δὲ ταῖς Ἁρπυίαις χρεὼν τεθνάναι ὑπὸ τῶν Βορέυ παίδων· τοῖς δὲ Βορέου παισὶ, τότε τελευτήσειν, ὅτε ἂν διώκοντες μὴ καταλάξωσι.[16] Διωκομένων δὲ τῶν Ἁρπυιῶν, ἡ μὲν εἰς ποταμόν τινα ἐμπίπτει, ἡ δὲ ἑτέρα μέχρις Ἐχινάδων ἦλθε νήσων, αἳ νῦν ἀπ' ἐκείνης Στροφάδες καλοῦνται· ἐστράφη γὰρ, ὡς ἦλθεν ἐπὶ ταύτας, καὶ γενομένη κατὰ τὴν ἠϊόνα ὑπὸ καμάτου πίπτει σὺν τῷ διώκοντι. Ἀπολλώνιος[17] δὲ ἕως Στρφάδων νήσων φησὶν αὐτὰς διωχθῆναι, καὶ μηδὲν παθεῖν, δούσας[18] ὅρκον, τὸν Φινέα μηκέτι ἀδικήσειν.

4. Ἀπαλλαγεὶς δὲ τῶν Ἁρπυιῶν Φινεὺς, ἐμήνυσε τὸν πλουν τοῖς Ἀργοναύταις, καὶ περὶ τῶν Συμπληγάδων ὑπέθετο πετρῶν τῶν κατὰ τὴν τοῦ Πόντου εἴσοδον. Ἦσαν δὲ ὑπερμεγέθεις αὗται, συγκρουόμεναι δὲ ἀλλήλαις,

—12°. his second spouse, Idea, called here in relation to his children of the first marriage μητρυιά.—13°. See ὅσος, Gram. § 151. p. 313.—14°. προσφέρω.—15°. καθίπταμαι.—16°. τὸ διωκόμενον understood.—27°. author of a poem on the expedition of the Argonauts.—18°. δίδωμι.

ὑπὸ τῆς τῶν πνευμάτων βίας, τὸν διὰ θαλάσσης πόρον ἀπέκλειον. Ἐφέρετο δὲ πολλὴ μὲν ἀπ' αὐτῶν ὀμίχλη, πολὺς δὲ πάταγος· ἦν δὲ ἀδύνατον καὶ τοῖς πετεινοῖς δι' αὐτῶν ἐλθεῖν. Εἶπεν οὖν αὐτοῖς ἀφεῖναι πελειάδα διὰ τῶν πετρῶν, και ταύτην ἐὰν μὲν ἴδωσι σωθεῖσαν, διαπλεῖν καταφρονοῦντας· ἐὰν δὲ ἀπολομένην,[19] μὴ πλεῖν βιάζεσθαι. Ταῦτα ἀνήγοντο ἀκούσαντες, καὶ, ὡς πλησίον ἦσαν τῶν πετρῶν, ἀφιᾶσιν ἐκ τῆς πρώρας πελειάδα· τῆς δὶ ἱπταμένης, τὰ ἄκρα τῆν οὐρᾶς ἡ σύμπτωσις τῶν πετρῶν ἀπεθέρισεν. Ἀναχωρούσας οὖν ἐπιτηρήσαντες τὰς πέτρας, μετ' εἰρεσίας ἐντόνȣ, συλλαβομένης Ἥρας διῆλθον, τὰ ἄκρα τῶν ἀφλάστων τῆς νηὸς περικοπείσης.[20] Αἱ μὲν οὖν Συμπληγάδες ἔκτοτε ἔστησαν· χρεὼν γὰρ ἦν αὐταῖς, νηὸς περαιωθείσης, στῆναι παντελῶς.

5. Οἱ δὲ Ἀργοναῦται παραπλεύσαντες Θερμώδοντα καὶ Καύκασον, ἐπὶ Φάσιν ποταμὸν ἦλθον. Οὗτος τῆς Κολχικῆς ἐστι γῆς. Καθορμισθείσης δὲ τῆς νηὸς, ἧκε προς Αἰήτην Ἰασων, καὶ τὰ ἐπιταγέντα[21] ὑπὸ Πελίου λέγων, παρεκάλει δοῦναι τὸ δέρας αὐτῷ· ὁ δὲ δώσειν ὑπέσχετο, ἐὰν τοὺς χαλκόποδας ταύρους μόνος καταζεύξῃ· ἦσαν δὲ ἄγριοι παρ' αὐτῷ οὗτοι ταῦροι δύο, μεγέθει διαφέροντες, δῶρον Ἡφαίστου, οἳ χαλκοῦς μὲν εἶχον πόδας, πῦρ δὲ ἐκ στομάτων ἐφύσων. Τούτους αὐτῷ ζεύξαντι ἐπετάσσετο σπείρειν δράκοντος ὀδόντας· εἶχε γὰρ λαβὼν παρ' Ἀθηνᾶς τȣ̀ς ἡμίσεις ὧν[22] Κάδμος ἔσπειρεν ἐν Θήβαις.

6. Ἀποροῦντος δὲ τοῦ Ἰάσονος, πῶς ἀν δύναιτο τȣ̀ς ταύρους καταζεῦξαι, Μήδεια αὐτȣ̃ ἔρωτα ἴσχει· ἦν

19°. ἴδωσιν αὐτὴν understocd.—20°. Gram. § 134. Rem. 3. p. 272.—21°. ἐπιτάσσω.—22°. for τούτων οὓς· see rule of *Attraction*, Gram. § 144. 3. p. 293.

δὲ αὕτη θυγάτηρ Αἰήτου καὶ Ἰδυίας τῆς Ὠκεανοῦ, φαρμακίς. Δεδοικυῖα δὲ, μὴ πρὸς τῶν ταύρων διαφθαρῇ,[23] κρύφα τοῦ πατρὸς συνεργήσειν αὐτῷ πρὸς τὴν κατάζευξιν τῶν ταύρων ἐπηγγείλατο, καὶ τὸ δέρας ἐγχειριεῖν,[24] ἐὰν ὀμόσῃ αὐτὴν ἕξειν γυναῖκα, καὶ εἰς Ἑλλάδα σύμπλουν ἀγάγηται. Ὀμόσαντος δὲ Ἰάσονος, φάρμακον δίδωσιν, ᾧ καταζευγνύναι μέλλοντα[25] τοὺς ταύρους ἐκέλευσε χρῖσαι τήν τε ἀσπίδα, καὶ τὸ δόρυ, καὶ τὸ σῶμα· τούτῳ γὰρ χρισθέντα, ἔφη, πρὸς μίαν ἡμέραν μήτε ὑπὸ πυρὸς ἀδικηθήσεσθαι, μήτε ὑπὸ σιδήρου. Ἐδήλωσε δὲ αὐτῷ, σπειρομένων τῶν ὀδόντων, ἐκ γῆς ἄνδρας μέλλειν ἀναδύεσθαι ἐπ' αὐτὸν καθωπλισμένους, οὓς ἐπειδὰν ἀθρόους θεάσηται,[26] ἐκέλευσε βάλλειν εἰς μέσον λίθους ἄποθεν· ὅταν δὲ ὑπὲρ τούτου μάχωνται[26] πρὸς ἀλλήλους, τότε κτείνειν αὐτούς.

7. Ἰάσων δὲ τοῦτο ἀκούσας, καὶ χρισάμενος[27] τῷ φαρμάκῳ, παραγενόμενος εἰς τὸ τοῦ νεὼ ἄλσος, ἐμάστευσε τοὺς ταύρους, καὶ σὺν πολλῷ πυρὶ ὁρμήσαντας αὐτοὺς κατέζευξε. Σπείροντος δὲ αὐτοῦ τοὺς ὀδόντας, ἀνέτελλον ἐκ τῆς γῆς ἄνδρες ἔνοπλοι· ὁ δὲ, ὅπου πλείονας ἑώρα,[28] βάλλων ἐξ ἀφανοῦς λίθους πρὸς αὐτοὺς, μαχομένους πρὸς ἀλλήλους[29] προσιὼν, ἀνῄρει. Κατεζευγμένων δὲ τῶν ταύρων, οὐκ ἐδίδου τὸ δέρας Αἰήτης· ἐβούλετο δὲ τήν τε Ἀργὼ καταφλέξαι, καὶ κτεῖναι τοὺς ἐμπλέοντας. Φθάσασα δὲ Μήδεια, τὸν Ἰάσονα νυκτὸς[29] ἐπὶ τὸ δέρας ἤγαγε, καὶ τὸν φυλάσσοντα δράκοντα κατακοιμίσασα τοῖς φαρμάκοις, μετὰ Ἰάσονος,

---

23°. Gram. § 149. 4. p. 306.——24°. ἐγχειρίζω. 25°. for καὶ ἐκέλευσε αὐτὸν μέλλοντα καταζευγνύναι τοὺς ταύρους τούτῳ χρῖσαι, &c.—26°. Gram. § 140. 7. p. 284.—27°. χρῖσαι, *to anoint*, χρίσασθαι, *to anoint one's self.* Gram. § 135. 1. p. 273.—28°. See Gram. § 83. Rem. 8. p. 98.—29°. They fell into a dispute with each other about the stones, not knowing who cast them.

ἔχουσα τὸ δέρας ἐπὶ τὴν Ἀργὼ παρεγένετο. Συνείπετο δὲ αὐτῇ καὶ ὁ ἀδελφὸς Ἄψυρτος. Οἱ δὲ νυκτὸς μετὰ τούτων ἀνήχθησαν.

8. Πελίας δὲ, ἀπογνοὺς[30] τὴν ὑποστροφὴν τῶν Ἀργοναυτῶν, Αἴσονα, τὸν Ἰάσονος πατέρα, κτεῖναι ἤθελεν· ὁ δὲ, αἰτησάμενος ἑαυτὸν ἀνελεῖν, θυσίαν ἐπιτελῶν ἀδεῶς ταύρου αἷμα σπασάμενος ἀπέθανεν. Ἡ δὲ Ἰάσονος μήτηρ, ἐπαρασαμένη[31] Πελίᾳ, νήπιον ἀπολιποῦσα παῖδα Πρόμαχον, ἑαυτὴν ἀνήρτησε· Πελίας δὲ καὶ τὸν καταλειφθέντα παῖδα ἀπέκτεινεν αὐτῆς. Ὁ δὲ Ἰάσων κατελθὼν, τὸ μὲν δέρας ἔδωκε· περὶ ὧν δὲ ἠδικήθη[32] μετελθεῖν ἐθέλων, καιρὸν ἐξεδέχετο, καὶ τότε μὲν ἐς Ἰσθμὸν μετὰ τῶν ἀριστέων πλεύσας, ἀνέθηκε τὴν ναῦν Ποσειδῶνι. Αὖθις δὲ Μήδειαν παρακαλεῖ ζητεῖν, ὅπως Πελίας αὐτῷ δίκας ὑποσχῇ.[33] Ἡ δὲ εἰς τὰ βασίλεια τοῦ Πελίου παρελθοῦσα πείθει τὰς θυγατέρας αὐτοῦ τὸν πατέρα κρεουργῆσαι καὶ καθεψῆσαι, διὰ φαρμάκων αὐτὸν ἐπαγγελλομένη ποιήσειν νέον· καὶ τοῦ πιστεῦσαι χάριν, κριὸν μελίσασα καὶ καθεψήσασα, ἐποίησεν ἄρνα. Αἱ δὲ πιστεύσασαι, τὸν πατέρα κρεουργοῦσι καὶ καθεψοῦσιν. Ἄκαστος δὲ μετὰ τῶν τὴν Ἰωλκὸν οἰκούντων τὸν πατέρα θάπτει, τὸν δὲ Ἰάσονα μετὰ τῆς Μηδείας τῆς Ἰωλκοῦ ἐκβάλλει.

VII. MISCELLANEOUS FABLES.

1. Ὀρφεὺς, Καλλιόπης Μούσης καὶ Οἰάγρου υἱὸς, ᾄδων ἐκίνει λίθους τε καὶ δένδρα. Ἀποθανούσης δὲ Εὐρυδίκης, τῆς γυναικὸς αὐτοῦ, δηχθείσης[1] ὑπὸ ὄφεως,

---

30°. ἀπογιγνώσκω.—31°. ἐπαράομαι.—32°. that is, περὶ τῶν ἀδικημάτων ἃ ἠδικήθη ὑπὸ τοῦ Πελίου.—33°. ὑπέχω.

1°. δάκνω. For the use of ὑπὸ with the passive voice, see Gram. § 134. 2. p. 271.

κατῆλθεν εἰς ᾅδου,[2] *καὶ Πλούτωνα ἔπεισεν ἀναπέμψαι αὐτήν. Ὁ δὲ ὑπέσχετο τοῦτο ποιήσειν, ἂν μὴ πορευόμενος Ὀρφεὺς ἐπιστραφῇ, πρὶν εἰς τὴν οἰκίαν αὐτοῦ παραγενέσθαι. Ὁ δὲ ἀπιστῶν ἐπιστραφεὶς ἐθεάσατο τὴν γυναῖκα· ἡ δὲ πάλιν ὑπέστρεψεν.*

2. *Πολλοὶ τῶν ποιητῶν φασὶ, Φαέθοντα τὸν Ἡλίου μὲν υἱὸν, παῖδα δὲ τὴν ἡλικίαν*[3] *ὄντα, πεῖσαι τὸν πατέρα, μίαν ἡμέραν παραχωρῆσαι τοῦ τεθρίππου. Συγχωρηθέντος δὲ αὐτῷ τούτου, τὸν μὲν Φαέθοντα ἐλαύνοντα τὸ τέθριππον, μὴ δύνασθαι κρατεῖν τῶν ἡνιῶν, τοὺς δὲ ἵππους καταφρονήσαντας τοῦ παιδὸς,*[4] *ἐξενεχθῆναι*[5] *τοῦ συνήθους δρόμου· καὶ τὸ μὲν πρῶτον*[6] *κατὰ τὸν οὐρανὸν πλανωμένους ἐκπυρῶσαι ταῦτον, καὶ ποιῆσαι τὸν νῦν γαλαξίαν καλούμενον κύκλον· μετὰ δὲ ταῦτα, πολλὴν τῆς οἰκουμένης κατακαίειν χώραν. Διὸ καὶ τὸν Δία ἀγανακτήσαντα ἐπὶ τοῖς γεγενημένοις, κεραυνῶσαι μὲν τὸν Φαέθοντα, ἀποκαταστῆσαι δὲ τὸν Ἥλιον ἐπὶ τὴν συνήθη πορείαν. Τοῦ δὲ Φαέθοντος πεσόντος πρὸς τὰς ἐκβολὰς τοῦ τῦν Πάδου καλουμένου ποταμοῦ, τὸ δὲ παλαιὸν*[6] *Ἠριδανοῦ προσαγορευομένου, θρηνῆσαι μὲν τὰς ἀδελφὰς αὐτοῦ τὴν τελευτὴν, διὰ δὲ τὴν ὑπερβολὴν τῆς λύπης μετασχηματισθῆναι τὴν φύσιν, γενομένας αἰγείρους. Ταύτας δὲ κατ᾽ ἐνιαυτὸν κατὰ τὴν αὐτὴν ὥραν δάκρυον ἀφιέναι, καὶ τοῦτο πηγνύμενον ἀποτελεῖν τὸ καλούμενον ἤλεκτρον.*

3. *Προμηθεὺς, Ἰαπετοῦ καὶ Ἀσίας υἱὸς, ἐξ ὕδατος καὶ γῆς ἀνθρώπους πλάσας, ἔδωκεν αὐτοῖς καὶ πῦρ, λάθρα Διὸς, ἐν νάρθηκι*[1] *κρύψας. Ὡς δὲ ᾔσθετο Ζεὺς,*

2°. δᾶμα understood. See above, p. 28. IX. 6. 5°.—3°. Gram. § 131. 6. p. 265.—4°. Gram. § 132. 4. c). p. 263.—5°. ἐκφέρω.—6°. Gram. § 125. Rem. 5. p. 257.—7°. νάρθηξ, a reed with a porous pith, used as tinder. In such a reed Prometheus was fabled to have concealed the fire from heaven.

ἐπέταξεν Ἡφαίστῳ τῷ Καυκάσῳ ὄρει τὸ σῶμα αὐτοῦ προςηλῶσαι. Τοῦνο δὲ Σκυθικὸν ὄρος ἐστίν. Ἐν δὲ τούτῳ προςηλωθεὶς Προμηθεὺς πολλῶν ἐτῶν ἀριθμὸν[8] διετέλεσε.[9] Καθ᾽ ἑκάστην δὲ ἡμέραν ἀετὸς ἐφιπτάμενος, τὸ ἧπαρ αὐτοῦ ἐνέμετο, αὐξανόμενον διὰ νυκτός. Καὶ Προμηθεὺς μὲν πυρὸς κλαπέντος[10] δίκην ἔτινε ταύτην, μέχρις Ἡρακλῆς αὐτὸν ἔλυσεν.

4. Προμηθέως δὲ παῖς Δευκαλίων ἐγένετο. Οὗτος βασιλεύων τῶν περὶ τὴν Φθίαν τόπων, γαμεῖ Πύῤῥαν, τὴν Ἐπιμηθέως καὶ Πανδώρας, ἣν ἔπλασαν οἱ θεοὶ πρώτην γυναῖκα. Ἐπεὶ δὲ ἀφανίσαι Ζεὺς τὸ χαλκοῦν γένος ἠθέλησεν, ὑποθεμένου Προμηθέως, Δευκαλίων τεκτηνάμενος λάρνακα, καὶ τὰ ἐπιτήδεια ἐνθέμενος, εἰς ταύτην μετὰ Πύῤῥας εἰςέβη. Ζεὺς δὲ πολὺν ὑετὸν ἀπ᾽ οὐρανοῦ χέας, τὰ πλεῖστα μέρη τῆς Ἑλλάδος κατέκλυσεν· ὥςτε διαφθαρῆναι πάντας ἀνθρώπους, ὀλίγων χωρὶς, οἳ συνέφυγον εἰς τὰ πλησίον[11] ὑψηλὰ ὄρη. Δευκαλίων δὲ ἐν τῇ λάρνακι διὰ τῆς θαλάσσης φερόμενος ἐφ᾽ ἡμέρας ἐννέα καὶ νύκτας ἴσας,[12] τῷ Παρνασσῷ προςίσχει, κἀκεῖ τῶν ὄμβρων παῦλαν λαβόντων, ἐκβὰς ἔθυσε Διῒ Φυξίῳ. Ζεὺς δὲ πέμψας Ἑρμῆν πρὸς αὐτὸν, ἐπέτρεψεν αἰτεῖσθαι ὅ τι βούλεται· ὁ δὲ αἱρεῖται ἀνθρώπους αὐτῷ γενέσθαι. Καὶ, Διὸς εἰπόντος, ὑπὲρ κεφαλῆς αἴρων ἔβαλε λίθους, καὶ οὓς μὲν ἔβαλε Δευκαλίων, ἄνδρες ἐγένοντο· οὓς δὲ Πύῤῥα, γυναῖκες. Ὅθεν καὶ λαοὶ μεταφορικῶς ὠνομάσθησαν[13] ἀπὸ τοῦ λάας, ὁ λίθος.

5. Σαλμωνεὺς διὰ τὴν ἀσέβειαν ἐκολάσθη. Ἔλεγε γὰρ ἑαυτὸν εἶναι Δία, καὶ τὰς ἐκείνου ἀφελόμενος

8°. Gram. § 131. 8. p. 266.—9°. Gram. § 145. Rem. 5. p. 297.—10°. *κλέπτω*.—11°. Gram. § 125. 5. p. 256.—12°. *as many*.—13°. that is, *οἱ οὕτως γεγεννημένοι*.

θυσίας, ἑαυτῷ προσέτασσε θύειν· καὶ βύρσας μὲν ἐξηραμμένας[14] ἐξ ἅρματος μετὰ λεβήτων χαλκῶν σύρων, ἔλεγε βροντᾷν· βάλλων δὲ εἰς οὐρανὸν αἰθομένας λαμπάδας, ἔλεγεν ἀστράπτειν. Ζεὺς δὲ αὐτὸν κεραυνώσας, τὴν κτισθεῖσαν ὑπ' αὐτοῦ πόλιν καὶ τοὺς οἰκήτορας ἠφάνισε πάντας.

6. Βῆλος ὁ Αἰγύπτου βασιλεὺς, παῖδας εἶχε διδύμους, Αἴγυπτον καὶ Δαναόν. Αἰγύπτῳ μὲν ἐγένοντο παῖδες πεντήκοντα, θυγατέρες δὲ Δαναῷ πεντήκοντα. Στασιασάντων δὲ αὐτῶν πρὸς ἀλλήλους περὶ τῆς ἀρχῆς ὕστερον, Δαναὸς τοὺς Αἰγύπτου παῖδας δεδοικὼς, ὑποθεμένης Ἀθηνᾶς αὐτῷ, ναῦν κατεσκεύασε πεντηκόντορον, καὶ τὰς θυγατέρας ἐνθέμενος, ἔφυγεν εἰς Ἄργος. Οἱ δὲ Αἰγύπτου παῖδες καὶ αὐτοὶ[15] εἰς Ἄργος ἐλθόντες, παρεκάλουν τὸν Δαναὸν, τῆς τε ἔχθρας παύσασθαι, καὶ τὰς θυγατέρας αὐτοῦ γαμεῖν ἠξίουν. Δαναὸς δὲ, ἅμα μὲν ἀπιστῶν αὐτῶν τοῖς ἐπαγγέλμασιν, ἅμα δὲ καὶ μνησικακῶν περὶ τῆς φυγῆς, ὡμολόγει τοὺς γάμους, καὶ διεκλήρου τὰς κόρας. Ὡς δὲ ἐκληρώσαντο τοὺς γάμους, ἑστιάσας ἐγχειρίδια δίδωσι ταῖς θυγατράσιν· αἱ δὲ κοιμωμένους τοὺς νυμφίους ἀπέκτειναν πλὴν Ὑπερμνήστρας. Αὕτη δὲ Λυγκέα διέσωσε· διὸ καθείρξας αὐτὴν Δαναὸς ἐφρούρει. Αἱ δὲ ἄλλαι τῶν Δαναοῦ θυγατέρων τὰς μὲν κεφαλὰς τῶν νυμφίων ἐν τῇ Λέρνῃ κατώρυξαν, τὰ δὲ σώματα πρὸ τῆς πόλεως ἐκήδευσαν. Καὶ αὐτὰς ἐκάθηραν Ἀθηνᾶ τε καὶ Ἑρμῆς, Διὸς κελεύσαντος. Δαναὸς δὲ ὕστερον Ὑπερμνήστραν Λυγκεῖ συνῴκισε· τὰς δὲ λοιπὰς θυγατέρας εἰς γυμνικὸν ἀγῶνα τοῖς νικῶσιν ἔδωκεν.*

14°. ξηραίνω.—15°. καὶ αὐτοί, as here used, is equivalent to *in like manner.*

* Danaus appointed games, in which his daughters were assigned as prizes to the victors.

7. Μίνως θαλασσοκρατῶν ἐπολέμησε στόλῳ τὰς Ἀθήνας, καὶ Μέγαρα εἷλε, Νίσου βασιλεύοντος, τοῦ Πανδίονος. Ἀπέθανε δὲ ὁ Νῖσος διὰ θυγατρὸς προδοσίαν. Ἔχοντι γὰρ αὐτῷ πορφυρέαν ἐν μέσῃ τῇ κεφαλῇ τρίχα, (ἧς ἀφαιρεθείσης αὐτὸν μοῖρα ἦν τελευτᾷν) ἡ θυγάτηρ αὐτοῦ Σκύλλα, ἐρασθεῖσα Μίνωος, ἐξεῖλε τὴν τρίχα κοιμωμένῳ. Μίνως δὲ, Μεγάρων κρατήσας, ἀπέπλευσε, καὶ τὴν Σκύλλαν, τῆς πρύμνης τῶν ποδῶν[16] ἐκδήσας, ὑποβρύχιον ἐποίησεν.

8. Σφίγγα μυθολογοῦσι, θηρίον δίμορφον, παραγενομένην εἰς τὰς Θήβας, αἴνιγμα προτιθέναι τῷ δυναμένῳ λῦσαι, καὶ πολλοὺς ὑπ' αὐτῆς δι' ἀπορίαν ἀναιρεῖσθαι. Ἦν δὲ τὸ προτεθὲν ὑπὸ τῆς Σφιγγός· Τί ἐστι τὸ αὐτὸ[17] δίπουν, τρίπουν, καὶ τετράπουν·

ἀλλ' ὁπόταν βαίνῃ πλείστοισι πόδεσσι,
Ἔνθα μένος γυίοισιν ἀφαυρότατον πέλει αὐτοῦ.

Ἀπορουμένων δὲ τῶν ἄλλων, ὁ Οἰδίπους ἀπεφήνατο ἄνθρωπον εἶναι τὸ προβληθέν·[18] νήπιον μὲν γὰρ αὐτὸν ὑπάρχοντα, τετράπουν εἶναι· αὐξήσαντα δὲ, δίπουν· γηράσαντα δὲ, τρίπουν, βακτηρίᾳ χρώμενον διὰ τὴν ἀσθένειαν. Ἐνταῦθα τὴν μὲν Σφίγγα ἑαυτὴν κατακρημνίσαι, τὸν δὲ Οἰδίπουν γῆμαι τὴν ἀγνοουμένην ὑφ' ἑαυτοῦ μητέρα,[19] τῷ λύσαντι[20] ἔπαθλον προτιθεμένην.

9. Ἑλένη, Λήδας καὶ Τυνδάρεω θυγάτηρ, ὡς δὲ ἄλλοι λέγουσι, Διὸς, κάλλει ἦν διαπρεπής. Παρεγένοντο δὲ εἰς Σπάρτην ἐπὶ τὸν αὐτῆς γάμον πολλοὶ τῶν βασιλευόντων Ἑλλάδος. Τούτων ὁρῶν τὸ πλῆθος Τυνδάρεως, ἐδεδοίκει[21] μὴ, κριθέντος ἑνὸς, στασιάσωσιν οἱ λοιποὶ, ἐξορκίζει τοὺς μνηστῆρας βοηθήσειν, ἐὰν ὁ προ-

---

16°. Gram. § 132. Rem. 3. p. 270.—17°. This might be imitated in the English, *What one and the same animal is*, &c.—18°. προβάλλω.—19°. Jocasta, spouse of Laius.—20°. τῷ λύσαντι, *to whomever should solve the riddle.*—21°. δέδοικα has the power of the present; ἐδεδοίκειν of the imperfect.

κριθεὶς νυμφίος ὑπὸ ἄλλου τινὸς ἀδίκηται περὶ τὸν γάμον, και αἱρεῖται τὸν Μενέλαον νυμφίον, καὶ τὴν βασιλείαν τῆς Σπάρτης αὐτῷ παραδίδωσιν.

10. Ἡ Θέτις ἐκ Πηλέως βρέφος ἐγέννησε, τὸν Ἀχιλλέα. Ἀθάνατον δὲ θέλουσα ποιῆσαι τοῦτο, κρύφα Πηλέως εἰς τὸ πῦρ ἐγκρυβοῦσα[22] τῆς νυκτὸς, ἔφθειρεν ὃ ἦν αὐτῷ θνητὸν πατρῷον·[23] μεθ' ἡμέραν δὲ ἔχριεν ἀμβροσίᾳ. Πηλεὺς δὲ ἐπιτηρήσας, καὶ ἀσπαίροντα τὸν παῖδα ἰδὼν ἐπὶ τοῦ πυρὸς, ἐβόησε· καὶ Θέτις, κωλυθεῖσα τὴν προαίρεσιν τελειῶσαι, νήπιον τὸν παῖδα ἀπολιποῦσα, πρὸς Νερεΐδας ᾤχετο. Κομίζει δὲ τὸν παῖδα πρὸς Χείρωνα Πηλεύς. Ὁ δὲ λαβὼν αὐτὸν ἔτρεφε σπλάγχνοις λεόντων καὶ συῶν ἀγρίων καὶ ἄρκτων μυελοῖς.

11. Αἰακὸς, ὁ Διὸς ἔκγονος, τοσοῦτον διήνεγκεν,[24] ὥστε γενομένων αὐχμῶν ἐν τοῖς Ἕλλησι, καὶ πολλῶν ἀνθρώπων διαφθαρέντων, ἐπειδὴ τὸ μέγεθος τῆς συμφορᾶς ὑπερέβαλεν, ἦλθον οἱ προεστῶτες τῶν πόλεων ἱκετεύοντες αὐτὸν, νομίζοντες, διὰ τῆς εὐγενείας καὶ τῆς εὐσεβείας τῆς ἐκείνου, τάχιστ' ἂν εὑρέσθαι[25] παρὰ τῶν θεῶν τῶν παρόντων κακῶν ἀπαλλαγήν. Σωθέντες δὲ καὶ τυχόντες ἁπάντων ὧν ἐδεήθησαν, ἱερὸν ἐν Αἰγίνῃ κατεστήσαντο κοινὸν τῶν Ἑλλήνων,[26] οὗπερ ἐκεῖνος ἐποιήσατο τὴν εὐχήν. Καὶ κατ' ἐκεῖνον μὲν τὸν χρόνον ἕως ἦν μετ' ἀνθρώπων, μετὰ καλλίστης δόξης ὢν διετέλεσεν·[27] ἐπειδὴ δὲ μετήλλαξε τὸν βίον, λέγεται παρὰ Πλούτωνι καὶ Κόρῃ[28] τιμὰς μεγίστας ἔχων παρεδρεύειν ἐκείνοις.—Τούτου δὲ παῖδες ἦσαν Τελαμὼν καὶ Πηλεύς. Ὧν ὁ μὲν ἕτερος μεθ' Ἡρακλέους ἐπὶ Λαομέδοντα

22°. ἐγκρύπτω.—23°. τὸ θνητὸν αὐτοῦ μέρος, τὸ ἀπὸ τοῦ πατρός.—24°. διαφέρω. —25°. Gram. § 140. Rem. 2. p. 286.—26°. that is, in behalf of all the Greeks. —27°. Gram. § 145. Rem. 5. p. 297.—28°. that is, τῇ Περσεφόνῃ.

στρατευσάμενος, τῶν ἀριστείων[29] ἔτυχε. Πηλεὺς δὲ ἐν τῇ μάχῃ τῇ[30] πρὸς Κενταύρους ἀριστεύσας, καὶ κατὰ πολλοὺς ἄλλους κινδύνους εὐδοκιμήσας, Θέτιδι, τῇ Νηρέως, θνητὸς ὢν ἀθανάτῳ, συνῴκησε· καὶ μόνου τούτου φασὶ τῶν προγεγενημένων ὑπὸ θεῶν ἐν τοῖς γάμοις ὑμέναιον ᾀσθῆναι.[31] Τούτοιν δ' ἑκατέροιν, Τελαμῶνος μὲν Αἴας καὶ Τεῦκρος ἐγεννήθη, Πηλέως δ' Ἀχιλλεύς. Οἳ[32] μέγιστον καὶ σαφέστατον ἔλεγχον ἔδοσαν τῆς αὑτῶν ἀρετῆς. Οὐ γὰρ ἐν ταῖς αὑτῶν πόλεσιν ἐπρώτευσαν μόνον, οὐδὲ ἐν τοῖς τόποις, ἐν οἷς κατῴκουν· ἀλλὰ στρατείας τοῖς Ἕλλησιν ἐπὶ τοὺς Βαρβάρους γιγνομένης, καὶ πολλῶν μὲν ἑκατέρωθεν[33] ἀθροισθέντων, ȣδενὸς δὲ τῶν ὀνομαστῶν ἀπολειφθέντος, ἐν τούτοις τοῖς κινδύνοις Ἀχιλλεὺς μὲν ἁπάντων διήνεγκεν,[24] Αἴας δὲ μετ' ἐκεῖνον ἠρίστευσε. Τεῦκρος δὲ τῆς τούτων συγγενείας ἄξιος, καὶ τῶν ἄλλων οὐδενὸς χείρων γενόμενος, ἐπειδὴ Τροίαν συνεξεῖλεν,[34] ἀφικόμενος εἰς Κύπρον Σαλαμῖνα κατῴκισεν.

12. Θησεὺς, ὁ Αἰγέως, Λαπίθαις σύμμαχος γενόμενος καὶ στρατευσάμενος ἐπὶ Κενταύρους τοὺς διφυεῖς, οἳ καὶ τάχει καὶ τόλμῃ καὶ ῥώμῃ διέφερον, τούτους μάχῃ νικήσας, εὐθὺς μὲν τὴν ὕβριν αὐτῶν ἔπαυσεν, οὐ πολλῷ δ' ὕστερον τὸ γένος[35] ἐξ ἀνθρώπων ἠφάνισεν.—Κατὰ δὲ τοὺς αὐτοὺς χρόνους οἱ Ἀθηναῖοι τῷ Μινωταύρῳ τῷ[30] ἐν Κρήτῃ τραφέντι, δασμὸν ἀπέστειλαν δὶς ἑπτὰ παῖδας, οὓς ἰδὼν ἀγομένους, οὕτως ἠγανάκτησεν,

---

29°. The prize was Hesione, the daughter of Laomedon.—30°. Gram. § 125. 3. p. 255.—32°. ᾄδειν. The construction is, *καὶ φασὶ μόνȣ τούτου τῶν προγεγενημένων ὑμέναιον ᾀσθῆναι ὑπὸ τῶν θεῶν ἐν τοῖς γάμοις.*—32°. Οἳ instead of οὗτοι stands like *qui* in the beginning of a clause, instead of the demonstrative pronoun.—33°. on the part of the Greeks and barbarians.—34°. *συνεξαιρέω.*—35°. *τῶν κενταύρων.*

ὥςθ᾽ ἡγήσατο κρεῖττον εἶναι τεθνάναι, ἢ ζῆν αἰσχρῶς, ἄρχων τῆς πόλεως τῆς οὕτως οἰκτρὸν τοῖς ἐχθροῖς φόρον ὑποτελεῖν ἠναγκασμένης. Σύμπλους δὲ γενόμενος, καὶ κρατήσας τῆς φύσεως[36] ἐξ ἀνδρὸς καὶ ταύρου μεμιγμένης, τοὺς μὲν παῖδας τοῖς γονεῦσιν ἀπέδωκε, τὴν δὲ πατρίδα οὕτως δεινοῦ προςτάγματος ἠλευθέρωσεν.

MYTHOLOGICAL DIALOGUES.

I. JUPITER AND MERCURY.

Ζεύς. Τὴν τοῦ Ἰνάχου παῖδα οἶσθα, τὴν καλὴν,[1] ὦ Ἑρμῆ;

Ἑρμῆς. Ναὶ, τὴν Ἰὼ λέγεις.

Ζ. Οὐκέτι παῖς ἐκείνη ἐστὶν, ἀλλὰ δάμαλις.

Ἑ. Τεράστιον τοῦτο· τῷ[2] τρόπῳ δ᾽ ἐνηλλάγη;

Ζ. Ζηλοτυπήσασα ἡ Ἥρα μετέβαλεν αὐτήν· ἀλλὰ καὶ νῦν ἄλλο τι δεινὸν ἐπιμεμηχάνηται τῇ κακοδαίμονι· βουκόλον τινὰ πολυόμματον Ἄργον τοὔνομα[3] ἐπέστησεν, ὃς νέμει τὴν δάμαλιν, ἄϋπνος ὤν.

Ἑ. Τί οὖν ἡμᾶς χρὴ ποιεῖν;

Ζ. Καταπτάμενος[4] ἐς τὴν Νέμεαν (ἐκεῖ δέ που ὁ Ἄργος βουκολεῖ) ἐκεῖνον μὲν ἀπόκτεινον, τὴν δὲ Ἰὼ διὰ τοῦ πελάγους ἐς τὴν Αἴγυπτον ἀπαγαγὼν, Ἶσιν ποίησον. Καὶ τολοιπὸν[5] ἔστω θεὸς τοῖς ἐκεῖ·[6] καὶ τὸν Νεῖλον ἀναγέτω[7] καὶ τοὺς ἀνέμους ἐπιπεμπέτω, καὶ σωζέτω τοὺς πλέοντας.

36°. φύσις signifies here *monster*, *creature*.

1°. Gram. § 125. 3. p. 255.—2°. τῷ instead of τίνι. Gram. § 77. Rem. 2. p. 89.—3°. instead of τὸ ὄνομα.—4°. καθίπταμαι.—5°. Gram. § 125. Rem. 5. p. 257.—6°. that is τοῖς Αἰγυπτίοις. Gram. § 125. 5. p. 256.—7°. that is, ἀναβαίνειν ποιείτω. The inundation of the Nile, on which the fertility of Egypt depended, was ascribed to Isis.

II. VULCAN AND JUPITER.

Ἡφ. Τί με, ὦ Ζεῦ, δεῖ ποιεῖν; ἥκω[1] γὰρ, ὡς ἐκέλευσας, ἔχων τὸν πέλεκυν ὀξύτατον,[2] εἰ καὶ λίθους δέοι μιᾷ πληγῇ διατεμεῖν.

Ζ. Εὖγε, ὦ Ἥφαιστε. Ἀλλὰ δίελέ[3] μου τὴν κεφαλὴν ἐς δύο πατενεγκών.[4]

Ἡφ. Πειρᾷ μου, εἰ μέμηνα; Πρόσταττε δ' οὖν[5] τἀληθὲς, ὅπερ θέλεις σοὶ γενέσθαι.

Ζ. Διαιρεθῆναί μοι τὸ κρανίον·[6] εἰ δὲ ἀπειθήσεις, οὐ νῦν πρῶτον ὀργιζομένου πειράσῃ μου·[7] ἀλλὰ χρὴ καθικνεῖσθαι παντὶ τῷ θυμῷ, μηδὲ μέλλειν· ἀπόλλυμαι γὰρ ὑπὸ τῶν ὠδίνων αἵ μοι τὸν ἐγκέφαλον ἀναστρέφουσιν.

Ἡφ. Ὅρα, ὦ Ζεῦ μὴ[8] κακόν τι ποιήσωμεν· ὀξὺς γὰρ ὁ πέλεκύς ἐστι, καὶ οὐκ ἀναιμωτὶ, οὔτε κατὰ[9] τὴν Εἰλείθυιαν μαιώσεταί σε.

Ζ. Κατένεγκε[4] μόνον, ὦ Ἥφαιστε, θαῤῥῶν· οἶδα γὰρ ἐγὼ τὸ συμφέρον.

Ἡφ. Ἄκων μὲν, κατοίσω[4] δέ· τί γὰρ χρὴ ποιεῖν, σοῦ κελεύοντος; (Ἥφαιστος διατέμνει τὸ τοῦ Διὸς κρανίον.) *Τί τοῦτο; κόρη ἔνοπλος;—μέγα, ὦ Ζεῦ, κακὸν εἶχες ἐν τῇ κεφαλῇ· εἰκότως γοῦν ὀξύθυμος ἦσθα, τηλικαύτην ὑπὸ τῇ μήνιγγι παρθένον ζωογονῶν, καὶ ταῦτα[10] ἔνοπλον· ἦ που στρατόπεδον, οὐ κεφαλὴν*

1°. ἥκω, *I am come*, Gram. § 138. Rem. 4. p. 281.—2°. The phrase is elliptically expressed; and the following clause strictly requires ἅλις ὀξὺν ὄντα (instead of ὀξύτατον), *sharp enough, even if it were necessary*; εἰ καὶ, *even if.* —3°. διαιρέω.—4°. καταφέρω.—5°. The οὖν refers to jesture or motion on the part of Jupiter, by way of negative to Vulcan's question.—6°. θέλω understood.—7°. Gram. § 145. 4. c). p. 297. Compare Homer's Iliad I. 590.—8°. According to the received rule, that μὴ, ὅπως, and ὅπως μὴ require the indicative future after them, we ought here to read ποιήσομεν. But the passages where the Aorist subjunctive follows these particles, are so numerous that the rule must be received with limitation.—9°. *according to.*—10°. *idque, and that.* Gram. § 151. p. 314. at top.

ἐλελήθεις ἔχων·[11] ἡ δὲ πηδᾷ, καὶ πυῤῥιχίζει, καὶ τὴν ἀσπίδα τινάσσει, καὶ τὸ δόρυ πάλλει, καὶ ἐνθουσιᾷ· καὶ τὸ μέγιστον,[12] καλὴ πάνυ καὶ ἀκμαία γεγένηται ἤδη ἐν βραχεῖ· γλαυκῶπις μὲν, ἀλλὰ κοσμεῖ καὶ τȣ̃το ἡ κόρυς.[13]

III. JUPITER, ESCULAPIUS, HERCULES.

Ζ. Παύσασθε, ὦ Ἀσκληπιὲ καὶ Ἡράκλεις, ἐρίζοντες[1] πρὸς ἀλλήλους ὥςπερ ἄνθρωποι. Ἀπρεπῆ γὰρ ταῦτα, καὶ ἀλλότρια τοῦ συμποσίου τῶν θεῶν.

Ἡ ρ. Ἀλλὰ ἐθέλεις, ὦ Ζεῦ, τουτονὶ[2] τὸν φαρμακέα προκατακλίνεσθαί μου;

Ἀ σ κ. Νὴ Δία, καὶ ἀμείνων γάρ[3] εἰμι.

Ἡ ρ. Κατὰ τί, ὦ ἐμβρόντητε;[4] ἢ διότι σε ὁ Ζεὺς ἐκεραύνωσεν, ἃ μὴ θέμις ποιοῦντα,[5] νῦν δὲ κατ' ἔλεον αὖθις ἀθανασίας μετείληφας;[6]

Ἀ σ κ. Ἐπιλέλησαι γὰρ[7] καὶ σὺ, ὦ Ἥρακλες, ἐν τῇ Οἴτῃ καταφλεγεὶς,[8] ὅτι μοι ὀνειδίζεις τὸ πῦρ;

Ἡ ρ. Οὔκουν ἶσα καὶ ὅμοια βεβίωται ἡμῖν· ὅς[9] Διὸς μὲν υἱός εἰμι, τοσαῦτα δὲ πεπόνηκα, ἐκκαθαίρων τὸν βίον, θηρία καταγωνιζόμενος, καὶ ἀνθρώπους ὑβριστὰς τιμωρούμενος. Σὺ δὲ ῥιζοτόμος εἶ, καὶ ἀγύρτης, νοσοῦσι μὲν ἴσως ἀνθρώποις χρήσιμος ἐπιθήσειν τῶν φαρμάκων,[10] ἀνδρῶδες δὲ οὐδὲν ἐπιδεδειγμένος.

11°. Gram. § 145. Rem. 5. p. 297.—12°. *what is most remarkable.*—13°. Bluish green eyes like those of the lion. The text indicates that this color has something terrible, but in unison with the polished helm.

1°. Gram. § 145. Rem. 3. p. 297.—2°. Gram. § 80. 2. p. 93.—3°. *καί.... γὰρ, etenim.*—4°. There is a play on this word, which signifies both *struck with thunder* (see above, page 100. l. 7.) and *stupid.*—5°. σὲ ποιοῦντα ἃ μὴ θέμις ἐστίν· that is, reviving the dead.—6°. μεταλαμβάνω.—7°. γὰρ strengthens the question.—8°. Gram. § 145. 4. a). p. 296.—9°. that is, ἐγὼ γάρ.—10°. that is, φάρμακά τινα. See Gram. § 132. 3. b). (3). p. 267.

Ἀσκ. Εὖ λέγεις, ὅτι σου τὰ ἐγκαύματα ἰασάμην, ὅτε πρώην ἀνῆλθες ἡμίφλεκτος, ὑπ' ἀμφοῖν διεφθαρμένος τὸ σῶμα,[11] τοῦ χιτῶνος,[12] καὶ μετὰ τοῦτο, τοῦ πυρός. Ἐγὼ δὲ, εἰ καὶ μηδὲν ἄλλο,[13] οὔτε ἐδούλευσα ὥσπερ σὺ, οὔτε ἔξαινον ἔρια ἐν Λυδίᾳ, πορφυρίδα ἐνδεδυκὼς, καὶ παιόμενος ὑπὸ τῆς Ὀμφάλης χρυσῷ σανδάλῳ, ἀλλ' οὐδὲ μελαγχολήσας ἀπέκτεινα τὰ τέκνα καὶ τὴν γυναῖκα.

Ἡρ. Εἰ μὴ παύσῃ λοιδορούμενός[1] μοι, αὐτίκα μάλα εἴσῃ,[14] ὡς οὐ πολύ σε ὀνήσει ἡ ἀθανασία, ἐπεὶ ἀράμενός σε, ῥίψω ἐπὶ κεφαλὴν ἐκ τοῦ οὐρανοῦ, ὥστε μηδὲ τὸν Παιήονα[15] ἰάσασθαί σε, τὸ κρανίον συντριβέντα.

Ζ. Παύσασθε, φημὶ, καὶ μὴ ἐπιταράττετε ἡμῖν τὴν συνουσίαν, ἢ ἀμφοτέρους ἀποπέμψομαι ὑμᾶς τοῦ συμποσίου. Καίτοι εὔγνωμον, ὦ Ἡρακλες, προκατακλίνεσθαί σου τὸν Ἀσκληπιὸν, ἅτε[16] καὶ πρότερον ἀποθανόντα.

IV. JUNO AND LATONA.

Ἡρ. Καλὰ μὲν γὰρ, ὦ Λητοῖ, καὶ[1] τὰ τέκνα ἔτεκες τῷ Διΐ.

Λητ. Οὐ πᾶσαι, ὦ Ἡρα, τοιούτους τίκτειν δυνάμεθα, οἷος ὁ Ἥφαιστός ἐστιν.

Ἡρ. Ἀλλ' οὗτος μὲν ὁ χωλὸς, ὅμως χρήσιμός γε ἐστὶ, τεχνίτης ὢν ἄριστος, καὶ κατακεκόσμηκεν ἡμῖν

11°. for διεφθαρμένον τὸ σῶμα ἔχων.—12°. the garment poisoned by the blood of Nessus.—13°. ἐποίησα understood. Some such word is frequently to be supplied in phrases like this, after ἄλλο.—14°. εἴδω.—15°. See Homer's Iliad, V. 401.—16°. ἅτε gives force to the expression of the reason contained in the participle.

1°. This phrase is elliptical; at length it would be αὐτὴ καλὴ οὖσα καὶ τέκνα καλὰ ἔτεκες· ironically spoken. The γὰρ refers to something understood, as εἰκότως ὑπερήφανος εἶ. The reply of Latona is still more ironical.

τὸν οὐρανόν· οἱ δὲ σοὶ παῖδες,[2] ἡ μὲν αὐτῶν ἀῤῥενικὴ πέρα τοῦ μέτρου, καὶ ὄρειος, καὶ τὸ τελευταῖον,[3] ἐς τὴν Σκυθίαν ἀπελθοῦσα, πάντες ἴσασιν οἷα ἐσθίει,[4] ξενοκτονοῦσα, καὶ μιμουμένη τοὺς Σκύθας αὐτοὺς, ἀνθρωποφάγους ὄντας. Ὁ δ' Ἀπόλλων προςποιεῖται μὲν πάντα εἰδέναι, καὶ τοξεύειν καὶ κιθαρίζειν, καὶ ἰατρὸς εἶναι, καὶ μαντεύεσθαι, καὶ καταστησάμενος ἐργαστήρια τῆς μαντικῆς,[5] τὸ μὲν ἐν Δελφοῖς, τὸ δ' ἐν Κλάρῳ, καὶ ἐν Διδύμοις, ἐξαπατᾷ τοὺς χρωμένους αὐτῷ, λοξὰ ἀποκρινόμενος, ὡς ἀκίνδυνον εἶναι τὸ σφάλμα. Καὶ πλουτεῖ μὲν ἀπὸ τοιούτου· πολλοὶ γάρ[6] οἱ ἀνόητοι καὶ παρέχοντες αὑτοὺς καταγοητεύεσθαι· πλὴν οὐκ ἀγνοεῖταί γε ὑπὸ τῶν συνετωτέρων τὰ πολλὰ τερατευόμενος·[7] αὐτὸς γοῦν ὁ μάντις ἠγνόει, ὅτι φονεύσει μὲν τὸν ἐρώμενον[8] τῷ δίσκῳ, οὐ προεμαντεύσατο δὲ, ὡς φεύξεται αὐτὸν ἡ Δάφνη, καὶ ταῦτα[9] οὕτω καλὸν καὶ κομήτην ὄντα. Ὥςτε οὐχ ὁρῶ καθότι καλλιτεκνοτέρα τῆς Νιόβης[10] ἔδοξας.

Λητ. Ταῦτα μέντοι τὰ τέκνα, ἡ ξενοκτόνος, καὶ ὁ ψευδόμαντις, οἶδα, ὅπως λυπεῖ σε, ὁρώμενα ἐν τοῖς θεοῖς καὶ μάλιστα, ὅταν ἡ μὲν ἐπαινῆται ἐς τὸ κάλλος, ὁ δὲ κιθαρίζῃ ἐν τῷ συμποσίῳ θαυμαζόμενος ὑφ' ἁπάντων.

Ἡρ. Ἐγέλασα,[11] ὦ Λητοῖ· ἐκεῖνος θαυμαστὸς, ὃν ὁ Μαρσύας, εἰ τὰ δίκαια αἱ Μοῦσαι δικάσαι ἤθελον, ἀπέδειρεν ἂν, αὐτὸς κρατήσας τῇ μουσικῇ; νῦν δὲ

2°. The nominative is often thus used before distributive clauses instead of the genitive, as here instead of τῶν δὲ σῶν παίδων, ἡ μὲν ἀῤῥενική.—3°. Gram. § 125. Rem. 5. p. 257.—4°. *quali (quam nefando) rictu utatur.* Juno would say, ἐσθίει κρέα ἀνθρώπινα, but expresses it by a circumlocution, as if through horror.—5°. *oracle shops*, in derision.—6°. εἰσὶ understood.—7°. that is, οἱ συνετώτεροι οὐκ ἀγνοοῦσιν ὅτι τὰ πολλὰ τερατεύεται. Gram. § 145. 4. a). p, 296. —8°. that is, Hyacinthus.—9°. *quamvis, idque.* Gram. § 151. καὶ ταῦτα, p. 314.—10°. See above, p. 99. l. 4.—11°. *I must needs laugh.*

κατασοφισθεὶς ἀθλίος[12] ἀπόλωλεν, ἀδίκως ἁλούς·[13] ἡ δὲ καλή σου παρθένος οὕτω καλή ἐστιν, ὥστε ἐπεὶ ἔμαθεν ὀφθεῖσα[7] ὑπὸ τοῦ Ἀκταίωνος, φοβηθεῖσα μὴ[14] ὁ νεανίσκος ἐξαγορεύσῃ τὸ αἶσχος αὐτῆς, ἐπαφῆκεν αὐτῷ τοὺς κύνας.[15]

Λητ. Μέγα, ὦ Ἥρα, φρονεῖς, ὅτι ξύνει τῷ Διΐ, καὶ συμβασιλεύεις αὐτῷ, καὶ διὰ τοῦτο ὑβρίζεις ἀδεῶς· πλὴν ἀλλ' ὄψομαί σε μετ' ὀλίγον αὖθις δακρύουσαν, ὁπόταν σὲ καταλιπὼν ἐς τὴν γῆν κατίῃ, ταῦρος ἢ κύκνος γενόμενος.

V. JUNO AND JUPITER.

Ἡρ. Ἐγὼ μὲν[1] ᾐσχυνόμην ἄν, ὦ Ζεῦ, εἴ μοι τοιοῦτος ἦν υἱὸς, θῆλυς οὕτω καὶ διεφθαρμένος ὑπὸ τῆς μέθης· μίτρᾳ μὲν ἀναδεδεμένος τὴν κόμην, τὰ πολλὰ[2] δὲ μαινομέναις γυναιξὶ συνὼν, ἁβρότερος αὐτῶν ἐκείνων, ὑπὸ τυμπάνοις καὶ αὐλοῖς καὶ κυμβάλοις χορεύων· καὶ ὅλως παντὶ μᾶλλον ἐοικὼς, ἢ σοὶ τῷ πατρί.

Ζ. Καὶ μὴν οὗτός γε ὁ θηλυμίτρης, ὁ ἁβρότερος τῶν γυναικῶν, οὐ μόνον, ὦ Ἥρα, τὴν Λυδίαν ἐχειρώσατο, καὶ τοὺς κατοικοῦντας τὸν Τμῶλον ἔλαβε, καὶ τοὺς Θρᾴκας ὑπηγάγετο, ἀλλὰ καὶ ἐπ' Ἰνδοὺς ἐλάσας τῷ γυναικείῳ τούτῳ στρατιωτικῷ, τούς τε ἐλέφαντας εἷλε, καὶ τῆς χώρας ἐκράτησε, καὶ τὸν βασιλέα πρὸς ὀλίγον ἀντιστῆναι τολμήσαντα, αἰχμάλωτον ἀπήγαγε· καὶ ταῦτα ἅπαντα ἔπραξεν, ὀρχούμενος ἅμα, καὶ χορεύων, θύρσοις χρώμενος κιττίνοις, μεθύων, ὡς φῂς, καὶ ἐν-

12°. The adjective is thus used for the adverb by a poetical idiom.—13°. The aorist ἑάλων and the perfect ἥλωκα have a passive signification.—14°. Gram. § 149. 4. p. 306.—15°. See the history of Actæon above, p. 99. l. 6.

1°. The apodosis here is understood, σὺ δὲ οὐκ αἰσχύνῃ.—2°. *for the most part.*

θεάζων. Εἰ δέ τις ἐπεχείρησε λοιδορήσασθαι αὐτῷ, ὑβρίσας ἐς τὴν τελετὴν, καὶ τοῦτον ἐτιμωρήσατο, ἢ καταδήσας τοῖς κλήμασιν,[3] ἢ διασπασθῆναι ποιήσας ὑπὸ τῆς μητρὸς[4] ὥσπερ νεβρόν. Ὁρᾷς ὡς ἀνδρεῖα ταῦτα, καὶ οὐκ ἀνάξια τοῦ πατρός; εἰ δὲ παιδιὰ καὶ τρυφὴ πρόσεστιν αὐτοῖς, οὐδεὶς φθόνος·[5] καὶ μάλιστα εἰ λογίσαιτό τις, οἷος[6] ἂν νήφων οὗτος ἦν, ὅπου ταῦτα μεθύων ποιεῖ.

VI. MERCURY AND MAIA.

Ἑρμ. Ἔστι γάρ[1] τις, ὦ μῆτερ, ἐν οὐρανῷ θεὸς ἀθλιώτερος ἐμοῦ;

Μαῖ. Μὴ λέγε, ὦ Ἑρμῆ, τοιοῦτον μηδέν.[2]

Ἑρμ. Τί μὴ λέγω,[3] ὃς τοσαῦτα πράγματα ἔχω, μόνος κάμνων, καὶ πρὸς τοσαύτας ὑπηρεσίας διασπώμενος; ἕωθεν μὲν γὰρ ἐξαναστάντα σαίρειν τὸ συμπόσιον δεῖ· καὶ διαστρώσαντα τὴν κλισίαν, εἶτα εὐθετήσαντα ἕκαστα, παρεστάναι τῷ Διῒ, καὶ διαφέρειν τὰς ἀγγελίας τὰς παρ᾽ αὐτοῦ, ἄνω καὶ κάτω ἡμεροδρομοῦντα·[4] καὶ ἐπανελθόντα ἔτι κεκονιμένον παρατιθέναι τὴν ἀμβροσίαν. Πρὶν δὲ τὸν νεώνητον τοῦτον οἰνοχόον ἥκειν,[5] καὶ τὸ νέκταρ ἐγὼ ἐνέχεον. Τὸ δὲ πάντων δεινότατον,[6] ὅτι μηδὲ νυκτὸς καθεύδω μόνος τῶν ἄλλων, ἀλλὰ δεῖ με καὶ τότε τῷ Πλούτωνι ψυχαγωγεῖν, καὶ νεκροπομπὸν εἶναι, καὶ παρεστάναι τῷ δικαστηρίῳ.

3°. like Lycurgus in Thrace. See above, p. 101. II. 1.—4°. like Pentheus in Thebes. *Ibid.* 2.—5°. *it must not be grudged him.*—6°. *how brave.*

1°. See above, p. 102. III. 1.—2°. μὴ....μηδέν. Gram. § 149. 6. p. 307.—3°. λέγω is here in the subjunctive mode. Gram. § 140. Rem. 6. p. 288.—4°. that is, ὡς ἡμεροδρόμον τρέχοντα.—5°. πρὶν....ἥκειν. Gram. § 150. 1. πρίν p. 310. The new cup-bearer alluded to is Ganymede: ἥκειν here expresses past time.—6°. Gram. § 131. Rem. 4. p. 266.

Οὐ γὰρ ἱκανά μοι τὰ τῆς ἡμέρας ἔργα, ἐν παλαίστραις εἶναι, κἂν[7] ταῖς ἐκκλησίαις κηρύττειν, καὶ ῥήτορας ἐκδιδάσκειν, ἀλλ᾽ ἔτι νεκρικὰ συνδιαπράττειν μεμερισμένον. Καίτοι τὰ μὲν τῆς Λήδας τέκνα[8] παρ᾽ ἡμέραν ἑκάτερος ἐν οὐρανῷ ἢ ἐν ᾅδου εἰσίν· ἐμοὶ δὲ καθ᾽ ἑκάστην ἡμέραν καὶ ταῦτα κἀκεῖνα ποιεῖν ἀναγκαῖον. Καὶ οἱ μὲν Ἀλκμήνης καὶ Σεμέλης υἱοὶ, ἐκ γυναικῶν δυστήνων γενόμενοι, εὐωχοῦνται ἀφρόντιδες· ὁ δὲ Μαίας τῆς Ἀτλαντίδος,[9] διακονοῦμαι αὐτοῖς. Καὶ νῦν ἄρτι ἥκοντά με ἀπὸ Σιδῶνος παρὰ τῆς Ἀγήνορος θυγατρὸς,[10] ἐφ᾽ ἣν πέπομφέ[11] με ὀψόμενον[12] ὅ τι πράττει ἡ παῖς, μηδὲ ἀναπνεύσαντα, πέπομφεν αὖθις ἐς τὸ Ἄργος ἐπισκεψόμενον τὴν Δανάην· εἶτ᾽ ἐκεῖθεν ἐς Βοιωτίαν, φησὶν, ἐλθὼν, ἐν παρόδῳ τὴν Ἀντιόπην ἰδέ. Καὶ ὅλως ἀπηγόρευκα ἤδη. Εἰ γοῦν μοι δυνατὸν ἦν ἡδέως ἂν ἠξίωσα πεπρᾶσθαι,[13] ὥςπερ οἱ ἐν γῇ κακῶς δουλεύοντες.[14]

Μαῖ. Ἔα ταῦτα, ὦ τέκνον· χρὴ γὰρ πάντα ὑπηρετεῖν τῷ πατρὶ, νεανίαν ὄντα· καὶ νῦν, ὥςπερ ἐπέμφθης, σόβει ἐς Ἄργος, εἶτα ἐς τὴν Βοιωτίαν, μὴ καὶ πληγὰς βραδύνων λάβῃς.

VII. ZEPHYR AND NOTUS.

Ζέφ. Οὐ πώποτε πομπὴν ἐγὼ μεγαλοπρεπεστέραν εἶδον ἐν τῇ θαλάσσῃ, ἀφ᾽ οὗ γε[1] εἰμὶ, καὶ πνέω. Σὺ δὲ οὐκ εἶδες, ὦ Νότε;

7°. *κἂν* for *καὶ ἐν*.—8°. *τὰ....τέκνα*, as above, p. 123. IV. 2°. the nominative is used before partitives instead of the genitive.—9°. Maia, the daughter of Atlas, one of the oldest gods, is here proudly contrasted with common mortal women.—10°. Europa.—11°. for *πέμπει*.—12°. The participle of the future expresses design.—13°. *πιπράσκω*.—14°. Allusion is made to a law at Athens, by which slaves who were treated with too great severity, could demand to be sold to another master.

1°. *χρόνου* understood.

Νότ. Τίνα ταύτην λέγεις, ὦ Ζέφυρε, τὴν πομπήν;[2] ἢ τίνες οἱ πέμποντες ἦσαν;

Ζέφ. Ἡδίστου θεάματος ἀπελείφθης, οἷον οὐκ ἂν ἄλλο ἴδοις ἔτι.

Νότ. Παρὰ τὴν ἐρυθρὰν γὰρ[3] θάλασσαν εἰργαζόμην· ἐπέπνευσα δέ τι καὶ μέρος τῆς Ἰνδικῆς, ὅσα παράλια τῆς χώρας·[4] οὐδὲν οὖν οἶδα ὧν λέγεις.

Ζέφ. Ἀλλὰ τὸν Σιδώνιον Ἀγήνορα οἶδας;

Νότ. Ναί· τὸν τῆς Εὐρώπης πατέρα· τί μήν;

Ζέφ. Περὶ αὐτῆς ἐκείνης διηγήσομαί σοι.

Νότ. Μῶν ὅτι ὁ Ζεὺς ἐραστὴς ἐκ πολλοῦ τῆς παιδός; τοῦτο γὰρ[5] καὶ πάλαι ἠπιστάμην.

Ζέφ. Οὐκοῦν τὸν μὲν ἔρωτα οἶσθα· τὰ μετὰ ταῦτα δὲ ἤδη ἄκουσον. Ἡ μὲν Εὐρώπη κατεληλύθει ἐπὶ τὴν ἠϊόνα παίζουσα, τὰς ἡλικιώτιδας παραλαβοῦσα· ὁ Ζεὺς δὲ, ταύρῳ εἰκάσας ἑαυτὸν, συνέπαιζεν αὐταῖς, κάλλιστος φαινόμενος· λευκός τε γὰρ ἦν ἀκριβῶς, καὶ τὰ κέρατα εὐκαμπὴς, καὶ τὸ βλέμμα ἥμερος. Ἐσκίρτα οὖν καὶ αὐτὸς ἐπὶ τῆς ἠϊόνος καὶ ἐμυκᾶτο ἥδιστον, ὥστε τὴν Εὐρώπην τολμῆσαι καὶ ἀναβῆναι αὐτόν. Ὡς δὲ τοῦτ᾽ ἐγένετο, δρομαῖος[6] μὲν ὁ Ζεὺς ὥρμησεν ἐπὶ τὴν θάλασσαν φέρων αὐτὴν, καὶ ἐνήχετο ἐμπεσών· ἡ δὲ πάνυ ἐκπλαγεῖσα[7] τῷ πράγματι, τῇ λαιᾷ μὲν εἴχετο τοῦ κέρατος,[8] ὡς μὴ ἀπολισθάνοι· τῇ ἑτέρᾳ δὲ ἠνεμωμένον τὸν πέπλον συνεῖχεν.

Νότ. Ἡδὺ τοῦτο θέαμα, ὦ Ζέφυρε, εἶδες.

2°. for *τίς ἐστιν αὕτη πομπὴ, ἣν λέγεις;* or *περὶ τίνος πομπῆς λέγεις;*—3°. *γὰρ* here refers to some such phrase, as *οὐκ ἐδυνάμην ἰδεῖν αὐτό.*—4°. that is, *τὰ παράλια μέρη τῆς Ἰνδικῆς χώρας.*—5°. *γὰρ* refers to a phrase understood, like "Thou hast no need to tell me this."—6°. equivalent to *δρόμῳ.*—7°. *ἐκπλήττω.*—8°. Gram. § 132. Rem. 3. p. 270.

Ζέφ. Καὶ μὴν τὰ μετὰ ταῦτα ἡδίω[9] παραπολὺ, ὦ Νότε· ἡ γὰρ θάλασσα εὐθὺς ἀκύμων ἐγένετο, ἡμεῖς δὲ πάντες ἡσυχίαν ἄγοντες παρηκολουθοῦμεν. Ἔρωτες δὲ παραπετώμενοι μικρὸν ὑπὲρ τὴν θάλλασσαν, ὡς ἐνίοτε ἄκροις τοῖς ποσὶ ἐπιψαύειν τοῦ ὕδατος, ἡμμένας[10] τὰς δᾷδας φέροντες, ᾖδον ἅμα τὸν ὑμέναιον. Αἱ Νηρηΐδες δὲ ἀναδῦσαι παρίππευον ἐπὶ τῶν δελφίνων, ἐπικροτοῦσαι, ἡμίγυμνοι αἱ πολλαί· τό τε τῶν Τριτώνων γένος, καὶ εἴ τι ἄλλο[11] μὴ φοβερὸν ἰδεῖν[12] τῶν θαλασσίων, ἅπαντα περιεχόρευε τὴν παῖδα· ὁ μὲν γὰρ Ποσειδῶν ἐπιβεβηκὼς ἅρματος, παροχουμένην τε καὶ τὴν Ἀμφιτρίτην ἔχων, προῆγε γεγηθὼς, προοδοιπορῶν νηχομένῳ τῷ ἀδελφῷ. Ἐπὶ πᾶσι δὲ τὴν Ἀφροδίτην δύο Τρίτωνες ἔφερον, ἐπὶ κόγχης κατακειμένη, ἄνθη παντοῖα ἐπιπάττουσαν τῇ νύμφῃ. Ταῦτα ἐκ Φοινίκης ἄχρι τῆς Κρήτης ἐγένετο. Ἐπεὶ δὲ ἐπέβη τῇ νήσῳ, ὁ μὲν ταῦρος οὐκέτι ἐφαίνετο·[13] ἡμεῖς δὲ ἐμπεσόντες, ἄλλος ἄλλο[14] τοῦ πελάγους μέρος διεκυμαίνομεν.

Νότ. Ὦ μακάριε Ζέφυρε τῆς θέας![15] Ἐγὼ δὲ γρύπας,[16] καὶ ἐλέφαντας, καὶ μέλανας ἀνθρώπους ἑώρων.

VIII. THE CYCLOPS POLYPHEMUS AND NEPTUNE.

Κυκ. Ὦ πάτερ, οἷα πέπονθα[1] ὑπὸ τοῦ καταράτου ξένου, ὃς μεθύσας ἐξετύφλωσέ με, κοιμωμένῳ ἐπιχειρήσας.

Ποσ. Τίς δὲ ὁ ταῦτα τολμήσας, ὦ Πολύφημε;

9°. for ἡδίονα. See Gram. § 55. p. 59.—10°. ἅπτω.—11°. for καὶ τὰ ἄλλα τῶν θαλασσίων ὅσα μὴ φοβερά ἐστιν.—12°. ἰδεῖν, *visu.* Gram § 141. 3. p. 289.—13°. that is, ἠφανίσθη.—14°. See above, p. 93. 2. 9°.—15°. Gram. § 132. 5. a). p. 269.—16°. fabulous animals supposed to exist in India, where Notus was, during this scene.

1°. πάσχω.

Κυκ. Τὸ μὲν πρῶτον Οὖτιν ἑαυτον ἀπεκάλει·[2] ἐπεὶ δὲ διέφυγε, καὶ ἔξω ἦν βέλους, Ὀδυσσεὺς ὀνομάζεσθαι ἔφη.

Ποσ. Οἶδα ὃν λέγεις, τὸν Ἰθακήσιον· ἐξ Ἰλίου δ' ἀνέπλει. Ἀλλὰ πῶς ταῦτ' ἔπραξεν, οὐδὲ πάνυ εὐθαρσὴς ὤν;

Κυκ. Κατέλαβον ἐν τῷ ἄντρῳ, ἀπὸ τῆς νομῆς ἀναστρέψας, πολλούς τινας, ἐπιβουλεύοντας δηλονότι τοῖς ποιμνίοις· ἐπεὶ γὰρ ἐπέθηκα τῇ θύρᾳ τὸ πῶμα (πέτρα δὲ ἔστι μοι παμμεγέθης) καὶ τὸ πῦρ ἀνέκαυσα,[3] ἐναυσάμενος ὃ ἔφερον δένδρον[4] ἀπὸ τοῦ ὄρους, ἐφάνησαν ἀποκρύπτειν αὑτοὺς πειρώμενοι· ἐγὼ δὲ συλλαβὼν αὐτῶν τινας, ὥσπερ εἰκὸς ἦν, κατέφαγον, λῃστὰς ὄντας. Ἐνταῦθα ὁ πανουργότατος ἐκεῖνος, εἴτε Οὖτις, εἴτε Ὀδυσσεὺς ἦν, δίδωσί μοι πιεῖν φάρμακόν τι[5] ἐγχέας, ἡδὺ μὲν καὶ εὔοσμον, ἐπιβουλότατον δὲ, καὶ ταραχωδέστατον· ἅπαντα γὰρ εὐθὺς ἐδόκει μοι περιφέρεσθαι πιόντι, καὶ τὸ σπήλαιον αὐτὸ ἀνεστρέφετο, καὶ οὐκέτι ὅλως ἐν ἐμαυτῷ ἤμην·[6] τέλος δὲ ἐς ὕπνον κατεσπάσθην. Ὁ δὲ, ἀποξύσας τὸν μοχλὸν,[7] καὶ πυρώσας γε προςέτι, ἐτύφλωσέ με καθεύδοντα· καὶ ἀπ' ἐκείνου[8] τυφλός εἰμί σοι,[9] ὦ Πόσειδον.

Ποσ. Ὡς βαθὺν[10] ἐκοιμήθης, ὦ τέκνον, ὃς οὐκ ἐξέθορες μεταξὺ[11] τυφλούμενος. Ὁ δ' οὖν Ὀδυσσεὺς πῶς διέφυγεν; οὐ γὰρ ἂν εὖ οἶδ' ὅτι ἐδυνήθη[12] ἀποκινῆσαι τὴν πέτραν ἀπὸ τῆς θύρας.

2°. Compare Homer's Odyssey, IX, 365.—3°. ἀνακαίω.—4°. Gram. § 144. 4. p. 293.—5°. wine, with which the Cyclops was till then unacquainted.—6°. for ἦν.—7°. the trunk of a tree.—8°. χρόνου understood.—9°. This use of σοὶ corresponds with the English idiom, *I am blind for you.*—10°. ὕπνον understood.—11°. See Gram. § 151. p. 315, at bottom, under μεταξὺ, which is often connected with a participle, as in the text.—12°. The construction is εὖ οἶδα γὰρ ὅτι οὐκ ἐδυνήθη ἂν ἀποκινῆσαι.

Κυκ. Ἀλλ' ἐγὼ ἀφεῖλον, ὡς μᾶλλον αὐτὸν λάϐοιμι ἐξιόντα· καὶ καθίσας παρὰ τὴν θύραν ἐθήρων τὰς χεῖρας ἐκπετάσας μόνα παρεὶς τὰ πρόϐατα ἐς τὴν νομὴν, ἐντειλάμενος τῷ κριῷ,[13] ὁπόσα ἐχρῆν πράττειν αὐτὸν ὑπὲρ ἐμοῦ.

Ποσ. Μανθάνω, ὑπ' ἐκείνοις[14] ὅτι γε ἔλαθεν ὑπεξελθών σε. Ἀλλὰ τοὺς ἄλλους γε Κύκλωπάς σ' ἔδει ἐπιϐοήσασθαι ἐπ' αὐτόν.

Κυκ. Συνεκάλεσα, ὦ πάτερ, καὶ ἧκον· ἐπεὶ δὲ ἤροντο[15] τοῦ ἐπιϐουλεύσαντος τοὔνομα, κἀγὼ[16] ἔφην, ὅτι Οὖτις ἐστὶ, μελαγχολᾷν οἰηθέντες[17] με, ᾤχοντο ἀπιόντες. Οὕτω κατεσοφίσατό με ὁ κατάρατος τῷ ὀνόματι. Καὶ ὃ μάλιστα ἠνίασέ με,[18] ὅτι καὶ ὀνειδίζων ἐμοὶ τὴν συμφορὰν, Οὐδ' ὁ πατὴρ, φησὶν, ὁ Ποσειδῶν ἰάσεταί σε.

Ποσ. Θάρσει, ὦ τέκνον, ἀμυνοῦμαι γὰρ αὐτὸν, ὡς μάθῃ, ὅτι, εἰ καὶ πήρωσίν μοι ὀφθαλμῶν ἰᾶσθαι ἀδύνατον, τὰ γοῦν τῶν πλεόντων[18] ἐπ' ἐμοί ἐστί· πλεῖ δὲ ἔτι.

IX. PANOPE AND GALENE.

Παν. Εἶδες, ὦ Γαλήνη, χθὲς, οἷα ἐποίησεν ἡ Ἔρις παρὰ τὸ δεῖπνον ἐν Θετταλίᾳ, διότι μὴ καὶ αὐτὴ ἐκλήθη ἐς τὸ συμπόσιον;

Γαλ. Οὐ συνειστιώμην ὑμῖν ἔγωγε· ὁ γὰρ Ποσειδῶν ἐκέλευσέ, με, ὦ Πανόπη, ἀκύμαντον ἐν τοσούτῳ[1]

13°. Compare Homer's Odyssey, IX. 447.—14°. that is, τοῖς προϐάτοις· the construction is, ὅτι ἔλαθεν (Gram. § 145. Rem. 5. p. 297.) ὑπεξελθὼν ὑπ' ἐκείνοις, that is, κεκρυμμένος.—15°. ἔρομαι.—16°. καὶ ἐγώ.—17°. οἴομαι.—18°. ἔστι τοῦτο understood; *that which....is that.*—19°. τὰ τῶν πλεόντων, *the fate of navigators.*—Gram. § 128. Rem. 1. p. 261.

1°. χρόνῳ understood.

φυλάττειν τὸ πέλαγος. Τί δ᾽ οὖν ἐποίησεν ἡ Ἔρις μὴ παροῦσα;

Παν. Ἡ Θέτις μὲν ἤδη καὶ ὁ Πηλεὺς ἀπεληλύθεσαν.[2] Ἡ δ᾽ Ἔρις ἐν τοσούτῳ[1] λαθοῦσα πάντας, ἐδυνήθη δὲ ῥᾳδίως, τῶν μὲν πινόντων, ἐνίων δὲ κροτούντων, ἢ τῷ Ἀπόλλωνι κιθαρίζοντι, ἢ ταῖς Μούσαις ᾀδούσαις προσεχόντων τὸν νοῦν, ἐνέβαλεν ἐς τὸ συμπόσιον μῆλόν τι πάγκαλον, χρυσοῦν ὅλον, ὦ Γαλήνη· ἐπεγέγραπτο δέ, Ἡ καλὴ λαβέτω. Κυλινδούμενον δὲ τοῦτο, ὥσπερ ἐξεπίτηδες, ἧκεν ἔνθα Ἥρα τε, καὶ Ἀφροδίτη, καὶ Ἀθηνᾶ κατεκλίνοντο.[3] Κἀπειδὴ[4] ὁ Ἑρμῆς ἀνελόμενος ἐπελέξατο τὰ γεγραμμένα, αἱ μὲν Νηρηΐδες ἡμεῖς ἀπεσιωπήσαμεν· τί γὰρ ἔδει ποιεῖν, ἐκείνων[5] παρουσῶν; αἱ δὲ ἀντεποιοῦντο ἑκάστη,[6] καὶ αὐτῆς εἶναι τὸ μῆλον ἠξίουν. Καὶ εἰ μή γε ὁ Ζεὺς διέστησεν αὐτάς, καὶ ἄχρι χειρῶν ἂν προὐχώρησε τὸ πρᾶγμα. Ἀλλ᾽ ἐκεῖνος, Αὐτὸς μὲν οὐ κρινῶ, φησί, περὶ τούτου, (καίτοι ἐκεῖναι αὐτὸν δικάσαι ἠξίουν,) ἄπιτε δὲ ἐς τὴν Ἴδην παρὰ τὸν Πάριν, τὸν Πριάμου παῖδα· ὃς[7] οἶδέ τε διαγνῶναι τὸ κάλλιον, φιλόκαλος ὤν, καὶ οὐκ ἂν ἐκεῖνος δικάσειε κακῶς.

Γαλ. Τί οὖν αἱ θεαί, ὦ Πανόπη;[8]

Παν. Τήμερον, οἶμαι, ἀπίασι πρὸς τὴν Ἴδην.

Γαλ. Καὶ τίς ἥξει μετὰ μικρὸν ἀπαγγελῶν ἡμῖν τὴν κρατοῦσαν;

Παν. Ἤδη σοι φημί, οὐκ ἄλλη κρατήσει, τῆς Ἀφροδίτης ἀγωνιζομένης, ἢν μὴ πάνυ ὁ διαιτητὴς ἀμβλυώττῃ.

2°. ἀπέρχομαι. The scene described in the dialogue, took place at the nuptials of Thetis and Peleus.—3°. alluding to the custom of reclining at table.—4°. καὶ ἐπειδή.—5°. the goddesses above named.—6°. as in English, *they each claimed it.*—7°. for οὗτος.—8°. ἐποίησαν understood.

X. XANTHUS AND THE SEA.

Ξάν. Δέξαι με, ὦ Θάλαττα, δεινὰ πεπονθότα,[1] καὶ κατάσβεσόν[2] μου τὰ τραύματα.

Θάλ. Τί τοῦτο, ὦ Ξάνθε; τίς σε κατέκαυσεν;[3]

Ξάν. Ἥφαιστος· ἀλλ᾽ ἀπηνθράκωμαι ὅλως ὁ κακοδαίμων, καὶ ζέω.

Θάλ. Διὰ τί δέ σοι ἐνέβαλε τὸ πῦρ;

Ξάν. Διὰ τὸν ταύτης υἱὸν τῆς Θέτιδος· ἐπεὶ γὰρ φονεύοντα τοὺς Φρύγας ἱκέτευσα,[4] ὁ δ᾽ οὐκ ἐπαύσατο τῆς ὀργῆς, ἀλλ᾽ ὑπὸ τῶν νεκρῶν ἀπέφραττέ μοι τὸν ῥοῦν, ἐλεήσας τοὺς ἀθλίους ἐπῆλθον, ἐπικλύσαι θέλων,[5] ὡς φοβηθεὶς ἀπόσχοιτο τῶν ἀνδρῶν. Ἐνταῦθα ὁ Ἥφαιστος, ἔτυχε γάρ που πλησίον, πᾶν, οἶμαι, ὅσον ἐν τῇ Λήμνῳ πῦρ εἶχε, καὶ ὅσον ἐν τῇ Αἴτνῃ,[6] καὶ εἴποθι ἄλλοθι, φέρων ἐπῆλθέ μοι· καὶ κατέκαυσε[3] μὲν τὰς πτελέας καὶ μυρίκας· ὤπτησε δὲ καὶ τοὺς κακοδαίμονας ἰχθῦς, καὶ τὰς ἐγχέλεις· αὐτὸν δὲ ἐμὲ ὑπερκαχλάσαι ποιήσας μικροῦ δεῖν[7] ὅλον ξηρὸν εἴργασται. Ὁρᾷς δ᾽ οὖν, ὅπως διάκειμαι ὑπὸ τῶν ἐγκαυμάτων.

Θάλ. Θολερὸς, ὦ Ξάνθε, καὶ θερμὸς,[8] ὡς εἰκός· τὸ αἷμα μὲν ἀπὸ τῶν νεκρῶν· ἡ θέρμη δὲ, ὡς φῄς, ἀπὸ τοῦ πυρός. Καὶ εἰκότως,[9] ὦ Ξάνθε, ὃς[10] ἐπὶ τὸν ἐμὸν υἱωνὸν[11] ὥρμησας, οὐκ αἰδεσθεὶς ὅτι Νηρηΐδος υἱὸς ἦν.[12]

Ξάν. Οὐκ ἔδει οὖν ἐλεῆσαι γείτονας ὄντας τοὺς Φρύγας;

1°. πάσχω.—2°. κατασβέννυμι.—3°. κατακαίω.—4°. Compare Homer's Iliad, XXI. 214. and the following lines.—5°. that is, Achilles.—6°. Lemnos and Ætna, the fabled forges of Vulcan.—7°. Gram. § 151. p. 314. under πολλοῦ δεῖ.—8°. εἶς understood.—9°. οὕτω διάκεισαι understood.—10°. The relative thus used has a signification of the ground or reason.—11°. The sea is the mother of Thetis.—12°. for οὐκ αἰδεσθεὶς αὐτὸν Νηρηΐδος υἱὸν ὄντα.

Θάλ. Τὸν Ἥφαιστον δὲ οὐκ ἔδει ἐλεῆσαι Θέτιδος υἱὸν ὄντα τὸν Ἀχιλλέα;

XI. ÆACUS, PROTESILAUS, MENELAUS, PARIS.

(*In the lower World.*)

Αἰ. Τί ἄγχεις, ὦ Πρωτεσίλαε, τὴν Ἑλένην προςπεσών;

Πρωτ. Ὅτι διὰ ταύτην, ὦ Αἰακέ, ἀπέθανον, ἡμιτελῆ μὲν τὸν δόμον καταλιπὼν, χήραν δὲ τὴν νεόγαμον γυναῖκα.[1]

Αἰ. Αἰτιῶ[2] τοίνυν τὸν Μενέλαον, ὅςτις ὑμᾶς ὑπὲρ τοιαύτης γυναικὸς ἐπὶ Τροίαν ἤγαγεν.

Πρωτ. Εὖ λέγεις· ἐκεῖνόν μοι αἰτιατέον.[3]

Μεν. Οὐκ ἐμὲ, ὦ βέλτιστε, ἀλλὰ δικαιότερον τὸν Πάριν, ὃς ἐμοῦ τοῦ ξένου[4] τὴν γυναῖκα παρὰ πάντα τὰ δίκαια ᾤχετο ἁρπάσας. Οὗτος γὰρ οὐχ ὑπὸ σοῦ μόνου, ἀλλ' ὑπὸ πάντων Ἑλλήνων καὶ Βαρβάρων ἄξιος ἄγχεσθαι, τοσούτοις θανάτου αἴτιος γεγενημένος.

Πρωτ. Ἄμεινον οὕτω. Σὲ τοιγαροῦν, ὦ Δύςπαρι,[5] οὐκ ἀφήσω ποτὲ ἀπὸ τῶν χειρῶν.

Παρ. Ἄδικα ποιῶν,[6] ὦ Πρωτεσίλαε, καὶ ταῦτα[7] ὁμότεχνον ὄντα σοι· ἐρωτικὸς γὰρ καὶ αὐτός εἰμι, καὶ τῷ αὐτῷ θεῷ κατέσχημαι. Οἶσθα δὲ, ὡς ἀκούσιόν τι ἐστὶ,[8] καὶ ὅτι ἡμᾶς ὁ δαίμων[9] ἄγει, ἔνθα ἂν ἐθέλῃ· καὶ ἀδύνατόν ἐστιν ἀντιτάττεσθαι αὐτῷ.

1°. Laodamia.—2°. αἰτιάομαι.—3°. or ἐκεῖνός μοι αἰτιατέος. For the syntax of the verbal adjective, see Gram. § 134. Rem. 4. p.272.—4°. Menelaus was the host of Paris, when he formed the design of carrying off Helen.—5°. *ill-starred Paris*, an epithet borrowed from Homer's Iliad, III. 39.—6°. for ποιεῖς· the participle must be conceived of in connection with the preceding sentence.—7°. *idque.* Gram. § 151. καὶ ταυτα, p. 314.—8°. that is, τὸ ἐρᾷν.—9°. ὁ ἔρως.

Π ρ ω τ. Εἶ λέγεις· εἴθε οὖν μοι τὸν Ἔρωτα ἐνταῦθα λαβεῖν δυνατὸν ἦν.

Α ἰ. Ἐγώ τοι καὶ περὶ τοῦ Ἔρωτος ἀποκρινοῦμαί σοι τὰ δίκαια. Φήσει γὰρ αὐτὸς μὲν τοῦ ἐρᾷν τῷ Πάριδι ἴσως γεγενῆσθαι αἴτιος, τοῦ θανάτου δὲ σοὶ οὐδένα ἄλλον, ὦ Πρωτεσίλαε, ἢ σεαυτόν· ὃς ἐκλαθόμενος τῆς νεογάμου γυναικὸς, ἐπεὶ προςεφέρεσθε τῇ Τρῳάδι, οὕτω φιλοκινδύνως καὶ ἀπονενοημένως προεπήδησας τῶν ἄλλων, δόξης ἐρασθεὶς, δι' ἣν πρῶτος ἐν τῇ ἀποβάσει ἀπέθανες.

Π ρ ω τ. Οὐκοῦν καὶ ὑπὲρ ἐμαυτοῦ σοι, ὦ Αἰακὲ, ἀποκρινοῦμαι δικαιότερα. Οὐ γὰρ ἐγὼ τȣ́των αἴτιος, ἀλλ' ἡ Μοῖρα, καὶ τὸ ἐξ ἀρχῆς οὕτως ἐπικεκλῶσθαι.[10]

Α ἰ. Ὀρθῶς· τί[11] οὖν τούτους αἰτιᾷ;

XII. A TRITON, AND IPHIANASSA AND DORIS (*Nereïds*).

Τρ. Τὸ κῆτος ὑμῶν,[1] ὦ Νηρηΐδες, ὃ ἐπὶ τὴν τοῦ Κηφέως θυγατέρα τὴν Ἀνδρομέδαν ἐπέμψατε, οὔτε[2] τὴν παῖδα ἠδίκησεν, ὡς οἴεσθε, καὶ αὐτὸ ἤδη τέθνηκεν.

Ν η ρ. Ὑπὸ τίνος, ὦ Τρίτων; ἢ ὁ Κηφεὺς, καθάπερ δέλεαρ προθεὶς τὴν κόρην, ἀπέκτεινεν ἐπιὼν, λοχήσας μετὰ πολλῆς δυνάμεως;

Τ ρ. Οὔκ· ἀλλ' ἴστε, οἶμαι, ὦ Ἰφιάνασσα καὶ Δωρὶ, τὸν Περσέα, τὸ τῆς Δανάης παιδίον, ὃ μετὰ τῆς μητρὸς ἐν τῇ κιβωτῷ ἐμβληθὲν ἐς τὴν θάλατταν ὑπὸ τοῦ μητροπάτορος,[8] ἐσώσατε, οἰκτείρασαι αὐτȣ́ς.[4]

10°. *ἐπικλώθω.* Gram. § 141. 5. p. 239.—11°. instead of *διὰ τί;*

1°. for *ἡμέτερον.*—2°. *οὔτε* naturally requires another *οὔτε* in the following clause; instead of which an affirmative clause follows here with *καί*, as also in Latin sometimes *neque* is followed by *et.*—3°. Acrisius.—4°. *τὴν μητέρα καὶ τὸ παιδίον.*

Ἰφ. Οἶδα ὃν λέγεις· εἰκὸς δὲ ἤδη νεανίαν εἶναι, καὶ μάλα γενναῖόν τε καὶ καλὸν ἰδεῖν.[5]

Τρ. Οὗτος ἀπέκτεινε τὸ κῆτος.

Ἰφ. Διὰ τί, ὦ Τρίτων; οὐ γὰρ δὴ σῶστρα ἡμῖν τοιαῦτα ἐκτίνειν αὐτὸν ἐχρῆν.

Τρ. Ἐγὼ ὑμῖν φράσω τὸ πᾶν, ὡς ἐγένετο. Ἐστάλη[6] μὲν οὖν ἐπὶ τὰς Γοργόνας, ἆθλόν τινα τοῦτον τῷ βασιλεῖ[7] ἐπιτελῶν· ἐπεὶ δὲ ἀφίκετο ἐς τὴν Λιβύην, ἔνθα ἦσαν—

Ἰφ. Πῶς, ὦ Τρίτων, μόνος, ἢ καὶ ἄλλους συμμάχους ἦγεν; ἄλλως γὰρ δύσπορος ἡ ὁδός.

Τρ. Διὰ τοῦ ἀέρος· ὑπόπτερον γὰρ αὐτὸν ἡ Ἀθηνᾶ ἔθηκεν. Ἐπεὶ δ᾽ οὖν ἧκεν, ὅπου διῃτῶντο,[8] αἱ μὲν ἐκάθευδον, οἶμαι, ὁ δὲ ἀποτεμὼν τῆς Μεδούσης τὴν κεφαλὴν ᾤχετ᾽ ἀποπτάμενος.[9]

Ἰφ. Πῶς ἰδών; ἀθέατοι γάρ εἰσιν·[10] ἢ ὃς ἂν ἴδῃ, οὐκ ἂν ἄλλο τι μετὰ ταῦτα ἴδοι.

Τρ. Ἡ Ἀθηνᾶ τὴν ἀσπίδα προφαίνουσα (τοιαῦτα γὰρ ἤκουσα διηγουμένου αὐτοῦ πρὸς τὴν Ἀνδρομέδαν, καὶ πρὸς τὸν Κηφέα ὕστερον)· ἡ Ἀθηνᾶ δὴ[11] ἐπὶ τῆς ἀσπίδος ἀποστιλβούσης, ὥσπερ ἐπὶ κατόπτρου, παρέσχεν αὐτῷ ἰδεῖν τὴν εἰκόνα τῆς Μεδούσης· εἶτα λαβόμενος τῇ λαιᾷ τῆς κόμης,[12] ἐνορῶν δὲ ἐς τὴν εἰκόνα, τῇ δεξιᾷ τὴν ἅρπην ἔχων, ἀπέτεμε τὴν κεφαλὴν αὐτῆς· καὶ πρὶν[13] ἀνέγρεσθαι τὰς ἀδελφὰς, ἀνέπτατο. Ἐπεὶ δὲ κατὰ τὴν παράλιον ταύτην Αἰθιοπίαν ἐγένετο, ἤδη

5°. Gram. § 141. 3. p. 288.—6°. στέλλω.—7°. Polydectes, king of Seriphus, where he had been saved.—8°. αἱ Γοργόνες understood.—9°. Compare Dialogue VIII. p. 130. ᾤχοντο ἀπιόντες, and XI. p. 133. ᾤχετο ἁρπάσας.—10°. that is, οὐ θέμις αὐτὰς θεᾶσθαι.—11°. *Minerva, I say.* A sentence broken off by a parenthesis is renewed by δὴ with a change of construction.—12°. Gram. § 132. Rem. 3. p. 270.—13°. See Gram. § 140. πρίν, p. 310.

πρόςγειος πετόμενος, ὁρᾷ τὴν Ἀνδρομέδαν προκειμένην ἐπί τινος πέτρας προβλῆτος, προςπεπατταλευμένην, καλλίστην, ὦ θεοὶ, καθειμένην[14] *τὰς κόμας καὶ ἡμίγυμνον. Καὶ τὸ μὲν πρῶτον, οἰκτείρας τὴν τύχην αὐτῆς, ἀνηρώτα τὴν αἰτίαν τῆς καταδίκης· κατὰ μικρὸν δὲ ἁλοὺς ἔρωτι βοηθεῖν διέγνω. Κἀπειδὴ τὸ κῆτος ἐπῄει μάλα φοβερὸν, ὡς καταπιόμενον*[15] *τὴν Ἀνδρομέδαν, ὑπεραιωρηθεὶς ὁ νεανίσκος, πρόκωπον ἔχων τὴν ἅρπην, τῇ μὲν*[16] *καθικνεῖται, τῇ δὲ προδεικνὺς τὴν Γοργόνα*[17] *λίθον ἐποίει αὐτό. Τὸ δὲ τέθνηκεν ὁμοῦ, καὶ πέπηγεν αὐτοῦ τὰ πολλὰ,*[18] *ὅσα εἶδε τὴν Μέδουσαν. Ὁ δὲ λύσας τὰ δεσμὰ τῆς παρθένου, ὑποσχὼν τὴν χεῖρα, ὑπεδέξατο ἀκροποδητὶ κατιοῦσαν ἐκ τῆς πέτρας, ὀλισθηρᾶς οὔσης· καὶ νῦν γαμεῖ ἐν τοῦ Κηφέως,*[19] *καὶ ἀπάξει αὐτὴν ἐς Ἄργος· ὥςτε ἀντὶ θανάτου γάμον οὐ τὸν τυχόντα*[20] *εὕρετο.*

Ἰφ. *Ἐγὼ μὲν οὐ πάνυ ἐπὶ τῷ γεγονότι ἄχθομαι· τί γὰρ ἡ παῖς ἠδίκει ἡμᾶς, εἴ τι ἡ μήτηρ ἐμεγαλαύχει τότε, καὶ ἠξίου καλλίων*[21] *εἶναι;*

Δωρ. *Ὅτι οὕτως*[22] *ἂν ἤλγησεν ἐπὶ τῇ θυγατρὶ μήτηρ γε οὖσα.*

Ἰφ. *Μηκέτι μεμνήμεθα, ὦ Δωρὶ, ἐκείνων, εἴ τι*[23] *βάρβαρος γυνὴ ὑπὲρ τὴν ἀξίαν ἐλάλησεν· ἱκανὴν γὰρ ἡμῖν τιμωρίαν ἔδωκε, φοβηθεῖσα ἐπὶ τῇ παιδί. Χαίρωμεν οὖν τῷ γάμῳ.*

14°. *καθίημι.* The participle is, by a particular idiom, made to agree not with the thing, but the person: the phrase in the text is used for *καθειμένας τὰς κόμας ἔχουσαν*, Gram. § 134. 4. p. 272.—15°. *καταπίνω·* the future indicating design.—16°. *τῇ μὲν....τῇ δὲ*, that is, *χειρί.*—17°. *τὴν Μεδούσης κεφαλὴν.*—18°. *μέρη* understood.—19°. *οἴκῳ* understood.—20°. *οὐ τυχόντα* is equivalent to *κάλλιστον, δοκιμώτατον.*—21°. *ἡμῶν* understood.—22°. that is, by punishing the daughter.—23°. the indefinite pronoun instead of *ἅτινα.*

GEOGRAPHY.

I. EUROPE.

1. Ἡ Εὐρώπη σύμπασα οἰκήσιμός ἐστι πλὴν ὀλίγης τῆς ἀοικήτου διὰ ψύχος· αὕτη δ' ὁμορεῖ τοῖς Ἁμαξικοῖς, τοῖς[1] περὶ τὸν Τάναϊν, καὶ τὴν Μαιῶτιν, καὶ τὸν Βορυσθένη. Τῆς δὲ οἰκησίμου, τὸ μὲν δυςχείμερον καὶ τὸ ὀρεινὸν μοχθηρῶς οἰκεῖται τῇ φύσει· ἐπιμελητὰς δὲ λαβόντα ἀγαθοὺς καὶ τὰ φαύλως οἰκούμενα ἡμεροῦται. Καθάπερ[2] οἱ Ἕλληνες ὄρη καὶ πέτρας κατέχοντες, ᾤκουν καλῶς διὰ τὴν πρόνοιαν τὴν περὶ τὰ πολιτικὰ, καὶ τὰς τέχνας, καὶ τὴν ἄλλην σύνεσιν τὴν περὶ βίον. Ῥωμαῖοί τε πολλὰ ἔθνη παραλαβόντες κατὰ τὴν φύσιν ἀνήμερα, καὶ τοὺς ἀγριωτέρους[3] πολιτικῶς ζῆν[4] ἐδίδαξαν.

2. Διαφέρει δὲ ἡ Εὐρώπη καὶ ταύτῃ, διότι[5] τοὺς καρποὺς ἐκφέρει τοὺς ἀρίστους, καὶ τοὺς ἀναγκαίους τῷ βίῳ, καὶ μέταλλα ὅσα χρήσιμα· θυώματα δὲ καὶ λίθους πολυτελεῖς ἔξωθεν μέτεισιν, ὧν τοῖς σπανιζομένοις οὐδὲν χείρων ὁ βίος ἐστὶν, ἢ τοῖς εὐπορουμένοις.[6] Ὡς δ' αὔτως[7] βοσκημάτων μὲν πολλῶν ἀφθονίαν παρέχει, θηρίων δὲ σπάνιν.

3. Τῆς Ἰβηρίας τὸ μὲν πλέον οἰκεῖται φαυλῶς· ὄρη γὰρ καὶ δρυμοὺς καὶ πεδία λεπτὴν ἔχοντα γῆν, οὐδὲ ταύτην ὁμαλῶς εὔυδρον οἰκοῦσι τὴν πολλήν·[8] ἡ δὲ πρός-

---

1°. οὖσιν understood.—2°. *As for instance.*—3°. The masculine here agrees with ἀνθρώπους which is involved in ἔθνη.—4°. *to live in organized political society.*—5°. *in this also, that.*—6°. for ὧν εἴ τις σπανίζεται οὐδὲν χείρων αὐτῷ ὁ βίος ἐστιν, εἰ εὐπορεῖται.—7°. for ὡσαύτως δέ.—8°. *for the most part.*

βοῤῥος ψυχρά ἐστι τελέως πρὸς τῇ τραχύτητι.[9] Ἡ δὲ νότιος πᾶσα εὐδαίμων σχεδόν τι, καὶ διαφερόντως ἡ ἔξω ϛηλῶν.[10]—4. Τὴν Βαιτικὴν διαῤῥεῖ ὁ Βαῖτις ποταμὸς, ἐξ ἀνατολῶν ὁρμώμενος. Οἰκοῦσιν αὐτὴν Τουρδιτανοὶ, σοφώτατοι τῶν Ἰβήρων ὄντες. Ὁ Βαῖτις ἀναπλέεται ὁλκάσι μεγάλαις, καί εἰσι περὶ τὰς ὄχθας αὐτοῦ μέταλλα ἄλλα τε καὶ ἄργυρος πλεῖστος. Ἰβηρία πᾶσα τῶν ὀλεθρίων θηρίων σπανίζει, πλὴν τῶν γεωρύχων λαγιδίων. Λυμαίνονται γὰρ οὗτοι καὶ φυτὰ καὶ σπέρματα ῥιζοφαγοῦντες.[11]—5. Τουρδιτανία καὶ ἡ προςεχὴς αὐτῇ γῆ εὐκαρπώτατός ἐστι, καὶ μετάλλοις πληθύνει. Οὔτε γὰρ χρυσὸς, οὔτε ἄργυρος, οὐδὲ δὴ χαλκὸς, οὐδὲ σίδηρος, οὐδαμοῦ τῆς γῆς[12] οὔτε τοσοῦτος, οὔθ᾽ οὕτως ἀγαθὸς ἐξήτασται γεννώμενος μέχρι νῦν· ὁ δὲ χρυσὸς οὐ μεταλλεύεται μόνον, ἀλλὰ καὶ σύρεται· καταφέρουσι δὲ οἱ ποταμοὶ καὶ οἱ χείμαῤῥοι τὴν χρυσῖτιν ἄμμον, πολλαχοῦ καὶ ἐν τοῖς ἀνύδροις τόποις οὖσαν· ἀλλ᾽ ἐκεῖ μὲν ἀφανής ἐστιν, ἐν δὲ τοῖς ἐπικλύστοις ἀπολάμπει τὸ τοῦ χρυσοῦ ψῆγμα. Ἐν δὲ τοῖς ψήγμασι τοῦ χρυσίου φασὶν εὑρίσκεσθαί ποτε καὶ ἡμιλιτριαίας βώλους, ἃς καλοῦσι π ά λ α ς, μικρᾶς καθάρσεως δεομένας.

6. Τῶν δὲ Ἰβήρων ἀλκιμώτατοι μέν εἰσιν οἱ καλούμενοι Λυσιτανοί. Φοροῦσι δ᾽ ἐν τοῖς πολέμοις πέλτας μικρὰς παντελῶς, διαπεπλεγμένας νεύροις, καὶ δυνα-

---

9°. *in addition to the unevenness of the soil.*—10°. The portion which lies on the Atlantic ocean. The '*Pillars* of Hercules' are the modern straits of Gibraltar.—11°. οὗτοι....ῥιζοφαγοῦντες· the masculine gender is used, though referring to λαγιδίων, which is neuter. This, strictly speaking, is ungrammatical, but very common in the case of animals which are naturally masculine or feminine, though their names, in the diminutive form, are grammatically neuter. Gram. § 32. 2. p. 34.—12°. *Nusquam terrarum.* The genitive serves to complete the idea expressed by the adverb.

μένας σκέπειν τὸ σῶμα περιττότερον διὰ τὴν στερεότητα. Χρῶνται δὲ καὶ σαυνίοις ὁλοσιδήροις ἀγκιστρώδεσιν· ἀκοντίζουσι δὲ εὐστόχως καὶ μακράν. Εὐκίνητοι δὲ ὄντες καὶ κοῦφοι, ῥαδίως καὶ φεύγουσι καὶ διώκουσιν. Ἐπιτηδεύουσι δὲ κατὰ μὲν τὴν εἰρήνην ὄρχησίν τινα κούφην καὶ περιέχουσαν πολλὴν εὐτονίαν σκελῶν· ἐν δὲ τοῖς πολέμοις πρὸς ῥυθμὸν ἐμβαίνουσι, καὶ παιᾶνας ᾄδουσιν, ὅταν ἐπίωσι τοῖς ἀντιτεταγμένοις.

7. Τὰ Πυρηναῖα ὄρη κατὰ τὸ ὕψος καὶ κατὰ τὸ μέγεθος ὑπάρχει διάφορα τῶν ἄλλων. Πολλῶν δὲ ὄντων ἐν αὐτοῖς δρυμῶν, φασὶν ἐν τοῖς παλαιοῖς χρόνοις ὑπό τινων νομέων, ἀφέντων πῦρ, κατακαῆναι παντελῶς ἅπασαν τὴν ὀρεινὴν χώραν. Διὸ καὶ συχνὰς ἡμέρας συνεχῶς πυρὸς ἐπιφλέγοντος, καῆναι τὴν ἐπιφάνειαν τῆς γῆς, καὶ τὰ μὲν ὄρη διὰ τὸ συμβεβηκὸς κληθῆναι Πυρηναῖα, τὴν δὲ ἐπιφάνειαν τῆς κατακεκαυμένης χώρας ἀργύρῳ ῥυῆναι πολλῷ, καὶ ῥύακας γενέσθαι πολλοὺς ἀργύρου καθαροῦ. Τῆς δὲ τούτου χρείας ἀγνοουμένης παρὰ τοῖς ἐγχωρίοις, τοὺς Φοίνικας, ἐμπορίαις χρωμένους[13] καὶ τὸ γεγονὸς μαθόντας, ἀγοράζειν τὸν ἄργυρον μικρᾶς τινὸς ἀντιδόσεως[14] ἄλλων φορτίων. Διὸ δὴ τοὺς Φοίνικας μεγάλους περιποιήσασθαι πλούτους.

8. Καταντικρὺ δὲ τῆς Ἰβηρίας νῆσοι ὑπάρχουσιν, ὑπὸ μὲν τῶν Ἑλλήνων ὀνομαζόμεναι Γυμνήσιαι, διὰ τὸ τοὺς ἐνοικοῦντας γυμνοὺς τῆς ἐσθῆτος βιοῦν κατὰ τὴν τοῦ θέρους ὥραν· ὑπὸ δὲ τῶν ἐγχωρίων καὶ τῶν Ῥωμαίων προσαγορεύονται Βαλλιαρεῖς, ἀπὸ τοῦ βάλλειν ταῖς σφενδόναις λίθους μεγάλους κάλλιστα τῶν ἁπάν-

---

13°. that is, ἐμπόρους ὄντας.—14°. Gram. § 132. 5. b). p. 269. As the value of this metal was unknown to these tribes, the Phœnicians purchased it for trifling articles of merchandise.

των ἀνθρώπων.——Ὁπλισμὸς δ᾽ ἔστιν αὐτοῖς τρεῖς σφενδόναι, καὶ τούτων μίαν μὲν περὶ τὴν κεφαλὴν ἔχουσιν, ἄλλην δὲ περὶ τὴν γαστέρα, τρίτην δ᾽ ἐν ταῖς χερσί. Κατὰ δὲ τὰς πολεμικὰς χρείας βάλλουσι λίθους πολὺ μείζους τῶν ἄλλων, οὕτως εὐτόνως, ὥστε δοκεῖν τὸ βληθὲν ἀπό τινος καταπέλτου φέρεσθαι.

9. Ἡ Γαλατία, κειμένη κατὰ τὸ πλεῖστον ὑπὸ τὰς ἄρκτους, χειμέριός ἐστι καὶ ψυχρὰ διαφερόντως. Κατὰ γὰρ τὴν χειμερίνην ὥραν, ἐν ταῖς συννεφέσιν ἡμέραις, ἀντὶ μὲν τῶν ὄμβρων χιόνι πολλῇ νίφεται, κατὰ δὲ τὰς αἰθρίας κρυστάλλῳ καὶ πάγοις ἐξαισίοις πληθύει, δι᾽ ὧν οἱ ποταμοὶ πηγνυμένοι, διὰ τῆς ἰδίας φύσεως[15] γεφυροῦνται. Οὐ μόνον γὰρ οἱ τυχόντες ὁδῖται κατ᾽ ὀλίγους κατὰ τοῦ κρυστάλλου πορευόμενοι διαβαίνουσιν,[16] ἀλλὰ καὶ στρατοπέδων μυριάδες[17] μετὰ σκευοφόρων καὶ ἁμαξῶν γεμουσῶν ἀσφαλῶς περαιοῦνται. Πολλῶν δὲ καὶ μεγάλων ποταμῶν ῥεόντων διὰ τῆς Γαλατίας, καὶ τοῖς ῥείθροις ποικίλως τὴν πεδιάδα τεμνόντων, οἱ μὲν ἐκ λιμνῶν ἀβύσσων ῥέουσιν, οἱ δὲ ἐκ τῶν ὀρῶν ἔχουσι τὰς πηγὰς καὶ τὰς ἐπιῤῥοίας· τὴν δὲ ἐκβολὴν οἱ μὲν εἰς τὸν Ὠκεανὸν ποιοῦνται, οἱ δὲ εἰς τὴν καθ᾽ ἡμᾶς θάλασσαν.[18] Μέγιστος δ᾽ ἔστι τῶν εἰς τὸ καθ᾽ ἡμᾶς πέλαγος[18] ῥεόντων ὁ Ῥόδανος, τὰς μὲν γονὰς ἔχων ἐν τοῖς Ἀλπείοις ὄρεσι, πέντε δὲ στόμασιν ἐξερευγόμενος εἰς τὴν θάλασσαν.—10. Εὐφυῶς δὲ κεῖνται οἱ τῆς χώρας ποταμοὶ, ὥστε ἀπὸ τοῦ Ὠκεανοῦ εἰς τὴν ἔσω θάλασσαν[18] καὶ ἔμπαλιν[19] τὰ φόρτια διὰ τῶν ποταμῶν οἱ ἔμποροι διαβιβάζουσιν, ὀλίγων τινῶν χωρίων πεζῇ κομίζεσθαι ἀναγκαζόντων.

15°. *By their own nature*, that is, without artificial aid.—16°. τοὺς ποτάμους understood.—17°. instead of ὅλα στρατόπεδα μυρίων ἀνδρῶν.—18°. the Mediterranean sea.—19°. that is, ἐκ τῆς ἔσω θαλάσσης εἰς τὸν Ὠκεανόν.

11. *Κατὰ τὴν Γαλατίαν ἄργυρος μὲν τὸ σύνολον οὐ γίγνεται, χρυσὸς δὲ, ὃν τοῖς ἐγχωρίοις ἡ φύσις ἄνευ κακοπαθείας ὑπουργεῖ. Ἐν γὰρ βόθροις ὀρυχθεῖσιν ἐπὶ μικρὸν εὑρίσκονται καὶ χειροπληθεῖς χρυσίου πλάκες, ἔσθ' ὅτε*[20] *μικρᾶς ἀποκαθάρσεως δεόμεναι. Τὸ δὲ λοιπὸν ψῆγμά ἐστι καὶ βῶλοι, καὶ αὗται*[21] *κατεργασίαν οὐ πολλὴν ἔχουσαι.*—12. *Τῷ δὲ χρυσῷ καταχρῶνται πρὸς κόσμον, οὐ μόνον αἱ γυναῖκες, ἀλλὰ καὶ οἱ ἄνδρες. Περὶ μὲν γὰρ τοὺς καρποὺς καὶ τοὺς βραχίονας ψέλλια φοροῦσι· περὶ δὲ τοὺς αὐχένας κρίκους παχεῖς ὁλοχρύσους, καὶ δακτυλίους ἀξιολόγους, ἔτι δὲ χρυσοῦς θώρακας.*

13. *Τὸ σύμπαν ἔθνος, ὃ νῦν Κελτικόν τε καὶ Γαλατικὸν καὶ Γαλλικὸν καλεῖται, θυμικόν ἐστι καὶ μάχιμον, καὶ μάλιστα ἱππικῇ μάχῃ εὐδοκιμοῦν, καὶ τὸ κράτιστον Ῥωμαίοις ἱππικὸν*[22] *οὗτοι παρέχουσιν. Εἰσὶν δὲ τοῖς τρόποις ἁπλοῖ, καὶ οὐ κοκοήθεις· τῷ δὲ ἁπλῷ καὶ θυμικῷ πολὺ τὸ ἀνόητον καὶ ἀλαζονικὸν πρόσεστι τοῖς Γαλάταις καὶ τὸ φιλόκοσμον.*—14. *Τοῖς μὲν σώμασίν εἰσιν εὐμήκεις, ταῖς δὲ σαρξὶ κάθυγροι καὶ λευκοί· ταῖς δὲ κόμαις οὐ μόνον ἐκ φύσεως ξανθοὶ, ἀλλὰ καὶ διὰ τῆς κατασκευῆς ἐπιτηδεύουσιν αὔξειν τὴν φυσικὴν τῆς χρόας ἰδιότητα.*[23] *Τιτάνου γὰρ ἀποπλύματι σμῶντες τὰς τρίχας συνεχῶς, ἵνα διαφανεῖς ὦσι, καὶ ἀπὸ τῶν μετώπων ἐπὶ τὴν κορυφὴν καὶ τοὺς τένοντας ἀνασπῶσιν· ὥστε τὴν πρόσοψιν αὐτῶν φαίνεσθαι Σατύροις καὶ Πᾶσιν ἐοικυῖαν· παχύνονται γὰρ αἱ τρίχες ἀπὸ τῆς κατεργασίας,*[24] *ὥστε μηδὲν τῆς τῶν ἵππων χαίτης διαφέρειν. Τὰ δὲ γένεια τινὲς μὲν ξυρῶνται, τινὲς δὲ μετρίως ὑποτρέ-*

20°. that is, ἔστιν ὅτε, *sometimes.*—21°. *which also in like manner.*—22°. *the most efficient portion of the cavalry.*—23°. that is, τὸ ξανθόν.—24°. *by this treatment.*

φουσιν· οἱ δ' εὐγενεῖς τὰς μὲν παρειὰς ἀπολειαίνουσι, τὰς δ' ὑπήνας ἀνειμένας ἐῶσιν, ὥςτε τὰ στόματα αὐτῶν ἐπικαλύπτεσθαι.

15. Ἐν δὲ ταῖς ὁδοιπορίαις καὶ ταῖς μάχαις χρῶνται συνωρίσιν, ἔχοντος τοῦ ἅρματος ἡνίοχον καὶ παραβάτην. Κατὰ δὲ τὰς παρατάξεις εἰώθασι προάγειν τῆς παρατάξεως, καὶ προκαλεῖσθαι τῶν ἀντιτεταγμένων τοὺς ἀρίστους εἰς μονομαχίαν, προανασείοντες τὰ ὅπλα καὶ καταπληττόμενοι τοὺς ἐναντίους. Ὅταν δέ τις ὑπακούσῃ πρὸς τὴν μάχην,[25] τάς τε τῶν προγόνων ἀνδραγαθίας ἐξυμνοῦσι, καὶ τὰς ἑαυτῶν ἀρετὰς προφέρονται, καὶ τὸν ἀντιταττόμενον ἐξονειδίζουσι. Τῶν δὲ πεσόντων πολεμίων τὰς κεφαλὰς ἀφαιροῦντες, περιάπτουσι τοῖς αὐχέσι τῶν ἵππων· τὰ δὲ σκῦλα τοῖς θεράπουσι παραδόντες ᾑμαγμένα[26] λαφυραγωγοῦσι, παιανίζοντες καὶ ᾄδοντες ὕμνον ἐπινίκιον· καὶ τὰ ἀκροθίνια ταῦτα ταῖς οἰκίαις προσηλοῦσιν, ὥςπερ ἐν κυνηγίαις τισὶ κεχειρωμένοι θηρία. Τῶν δὲ ἐπιφανεστάτων πολεμίων κεδρώσαντες τὰς κεφαλάς, ἐπιμελῶς τηροῦσιν ἐν λάρνακι, καὶ τοῖς ξένοις ἐπιδεικνύουσιν.

16. Κατὰ τὴν Γαλατίαν τὴν παρωκεανῖτιν, καταντικρὺ τῶν Ἑρκυνίων ὀνομαζομένων δρυμῶν[27] νῆσοι πολλαι κατὰ τὸν Ὠκεανὸν ὑπάρχουσιν, ὧν ἐστὶ μία καὶ μεγίστη Βρεττανικὴ καλουμένη. Αὕτη δὲ τῷ σχήματι τρίγωνος οὖσα παραπλησίως τῇ Σικελίᾳ, τὰς πλευρὰς οὐκ ἰσοκώλους ἔχει. Κατοικεῖν δὲ φασι τὴν Βρεττανικὴν αὐτόχθονα γένη, καὶ τὸν παλαιὸν βίον ταῖς ἀγω-

---

25°. *When any one accepts the challenge.*—26°. *αἱμάσσω.*—27°. The *Hercynian woods*, an indefinite name for an immense forest, north of the Alps. In the text, the woods and mountains north of Germany are referred to; and in this region the *Harz* mountains are still supposed to derive their name from the old Hercynian forest.

γαῖς διατηροῦντα. Ἅρμασι μὲν γὰρ κατὰ τοὺς πολέμους χρῶνται, καθάπερ οἱ παλαιοὶ τῶν Ἑλλήνων ἥρωες ἐν τῷ Τρωϊκῷ πολέμῳ κεχρῆσθαι παραδέδονται·[28] καὶ τὰς οἰκήσεις εὐτελεῖς ἔχουσιν, ἐκ καλάμων ἢ ξύλων κατὰ τὸ πλεῖστον συγκειμένας. Τοῖς δὲ ἤθεσιν ἁπλοῦς εἶναι αὐτοὺς λέγουσι, καὶ πολὺ κεχωρισμένους τῆς τῶν νῦν ἀνθρώπων ἀγχινοίας καὶ πονηρίας· τάς τε διαίτας εὐτελεῖς ἔχειν, καὶ τῆς ἐκ τοῦ πλούτου γιγνομένης τρυφῆς πολὺ διαλλάττοντας,[29] βασιλεῖς τε καὶ δυνάστας πολλοὺς ἔχειν, καὶ πρὸς ἀλλήλους κατὰ τὸ πλεῖστον εἰρηνικῶς διακεῖσθαι.

17. Τῆς Βρεττανικῆς κατὰ τὸ ἀκρωτήριον τὸ καλούμενον Βελέριον οἱ κατοικοῦντες φιλόξενοί τε διαφερόντως εἰσὶ, καὶ διὰ τὴν τῶν ξένων ἐμπόρων ἐπιμιξίαν ἐξημερωμένοι τὰς ἀγωγάς.[30] Οὗτοι τὸν κασσίτερον κατασκευάζουσι, φιλοτέχνως ἐργαζόμενοι τὴν φέρουσαν αὐτὸν γῆν.—18. Ἡ πλείστη τῆς μεγάλης Βρεττανίας πεδιάς ἐστι καὶ κατάδρυμος, πολλὰ δ᾽ ἔχει καὶ ὀρεινά.[31] Φέρει δὲ σῖτον καὶ βοσκήματα καὶ μέταλλα χρυσοῦ καὶ ἀργύρου καὶ σιδήρου· καὶ δέρματα δὲ καὶ ἀνδράποδα χορηγεῖ καὶ κύνας κυνηγετικούς. Κελτοὶ δὲ καὶ ταῖς κυσὶ ταύτοις χρῶνται πρὸς τοὺς πολέμους. Εἰσὶ δ᾽ οἱ Βρεττανοὶ εὐμήκεις τοῖς σώμασι, τὰ δὲ ἤθη ἁπλούστερα καὶ βαρβαρώτερα ἔχουσιν ἤπερ οἱ Κελτοὶ, ὥστ᾽ ἔνιοι διὰ τὸ ἀγνοεῖν, καίτοι γαλακτὸς εὐποροῦντες, οὐ τυροποιοῦσιν· ἄπειροι δ᾽ εἰσὶ καὶ κηπείας καὶ ἄλλων γεωργικῶν.[32] Πολεὶς δὲ αὐτῶν εἰσὶν οἱ δρυμοί. Φράξαντες γὰρ δένδρεσι καταβεβλημένοις εὐρυχωρῆ κύκλον, καὶ αὐτοὶ ἐνταῦθα καλυβοποιοῦνται, καὶ τὰ

28°. that is, λέγονται.—29°. Gram. § 132. 3. a). p. 267.—30°. Gram. § 133. 4. p. 272.—31°. μέρη understood.—32°. Gram. § 132. 4. a). p. 268.

βοσκήματα κατασταθμεύουσιν, οὐ πρὸς πολὺν χρόνον. Ἔπομβροι δ' εἰσὶν οἱ ἀέρες μᾶλλον ἢ νιφετώδεις. Ἐν δὲ ταῖς αἰθρίαις ὁμίχλη κατέχει πολὺν χρόνον, ὥστε, δι' ἡμέρας ὅλης, ἐπὶ τρεῖς μόνον ἢ τέτταρας ὥρας τὰς περὶ τὴν μεσημβρίαν ὁρᾶσθαι τὸν ἥλιον.

19. Οἱ Γερμανοὶ μικρὸν ἐξαλλάττουσι τοῦ Κελτικοῦ φύλου τῷ τε πλεονασμῷ τῆς ἀγριότητος, καὶ τοῦ μεγέθους, καὶ τῆς ξανθότητος· τἄλλα δὲ παραπλήσιοι καὶ μορφαῖς καὶ νόμοις, ὅθεν καὶ Γερμανοὶ ὑπὸ Ῥωμαίων καλοῦνται· δύναται δὲ τὸ ὄνομα γ ν ή σ ι ο ι. Τὰ βορειότερα ἔθνη τῶν Γερμανῶν ἁμαξόβιά ἐστι καὶ νομαδικὰ καὶ ῥαδίως μεταναστύειν ἕτοιμα, διὰ τὸ μὴ θησαυρίζειν.[33]—20. Οἱ παρωκεανῖται Γερμανοὶ καλοῦνται Κίμβροι. Ἔθος δέ τι αὐτῶν διηγοῦνται τοιοῦτον,[34] ὅτι ταῖς γυναιξὶν αὐτῶν συστρατευούσαις τοῖς ἀνδράσι παρηκολούθουν γυναῖκες προμάντεις ἱέρειαι, πολιότριχες, λευχείμονες, καρπασίνας ἐφαπτίδας ἐπιπεπορπημέναι, ζῶσμα χαλκοῦν ἔχουσαι, γυμνόποδες. Τοῖς οὖν αἰχμαλώτοις διὰ τοῦ στρατοπέδου συνήντων ξιφήρεις· καταστέψασαι[35] δὲ αὐτοὺς ἦγον ἐπὶ κρατῆρα χαλκοῦν, ὅσον ἀμφορέων εἴκοσιν. Εἶχον δὲ ἀνάβαθραν, ἣν ἀναβᾶσα ἡ ἱέρεια ὑπερπετὴς τοῦ λέβητος ἐλαιμοτόμει ἕκαστον, μετεωρισθέντα. Ἐκ δὲ τοῦ προχεομένου αἵματος εἰς τὸν κρατῆρα μαντείαν τινὰ ἐποιοῦντο. Ἄλλαι δὲ διασχίσασαι ἐσπλάγχνευον, ἀναφθεγγόμεναι νίκην τοῖς οἰκείοις. Ἐν δὲ τοῖς ἀγῶσιν ἔτυπτον τὰς βύρσας, τὰς περιτεταμένας[36] τοῖς γέῤῥοις τῶν ἁρμαμαξῶν, ὥστε ἀποτελεῖσθαι ψόφον ἐξαίσιον.

33°. They lay up no stores of any kind, but live on what the present moment supplies.—34°. τοιοῦτον is used for τοιοῦτο, as ταὐτὸν is often used for ταὐτό.—35°. The victims were *crowned* with a garland.—36°. περιτείνω. The sides of the wagons were formed by skins strained over the wagon frame.

21. Μετὰ τὴν ὑπώρειαν τῶν Ἄλπεων ἀρχή ἐστι τῆς Ἰταλίας. Καὶ τα μὲν ὑπὸ ταῖς Ἄλπεσιν ἔστι πεδίον εὔδαιμον σφόδρα, καὶ γεωλοφίαις εὐκάρποις πεποικιλμένον. Διαιρεῖ δ' αὐτὸ μέσον πως ὁ Πάδος. Ἅπασα μὲν οὖν ἡ χώρα ποταμοῖς πληθύει καὶ ἕλεσι, μάλιστα δὲ ἡ τῶν Ἑνετῶν.—Παρὰ τοῖς Ἑνετοῖς τῷ Διομήδει ἀποδεδειγμέναι τινὲς ἱστοροῦνται τιμαί· καὶ γὰρ θύεται λευκὸς ἵππος αὐτῷ· καὶ δύο ἄλση, τὸ μὲν Ἥρας Ἀργείας δείκνυται, τὸ δ' Ἀρτέμιδος Αἰτωλίδος.[37] Προσμυθεύουσι δὲ ἐν τοῖς ἄλσεσι τούτοις ἡμεροῦσθαι τὰ θηρία, καὶ λύκοις ἐλάφους συναγελάζεσθαι· προσιόντων δὲ τῶν ἀνθρώπων καὶ καταψαυόντων ἀνέχεσθαι· τὰ δὲ διωκόμενα ὑπὸ τῶν κυνῶν, ἐπειδὰν καταφύγῃ δεῦρο,[38] μηκέτι διώκεσθαι.

22. Οἱ Λίγυες νέμονται χώραν τραχεῖαν καὶ παντελῶς λυπράν· τοῖς δὲ πόνοις καὶ ταῖς κατὰ τὴν λειτουργίαν συνεχέσι κακοπαθείαις ἐπίπονον τινὰ βίον καὶ ἀτυχῆ ζῶσι. Καταδένδρου γὰρ τῆς χώρας οὔσης, οἱ μὲν αὐτῶν ὑλοτομοῦσι δι' ὅλης τῆς ἡμέρας, οἱ δὲ τὴν γῆν ἐργαζόμενοι τὸ πλεῖον πέτρας λατομοῦσι[39] διὰ τὴν ὑπερβολὴν τῆς τραχύτητος—οὐδεμίαν γὰρ βῶλον τοῖς ἐργαλείοις ἀνασπῶσιν ἄνευ λίθου—καὶ τοιαύτην ἔχοντες ἐν τοῖς ἔργοις κακοπάθειαν, τῇ συνεχείᾳ[40] περιγίγνονται τῆς φύσεως· καὶ πολλὰ μοχθήσαντες, ὀλίγους καρποὺς καὶ μόλις λαμβάνουσι. Πρὸς δὲ τὴν κακοπάθειαν ταύτην συνεργοὺς ἔχουσι τὰς γυναῖκας, εἰθισμένας ἐπίσης, τοῖς ἀνδράσιν[41]

37°. Juno was an object of particular veneration in Argos, and Diana in Aetolia. Diomed, through his father, was of Aetolian descent; but, by right of his spouse, Aegialea, he reigned in Argos.—38°. that is, *εἰς τοῦτο τὸ ἄλσος*.—39°. The labor of cultivating consists rather in breaking and reducing the stones, than in tilling the soil.—40°. *πόνων* understood: more distinctly *νικῶσι τὴν φυσικὴν ἰδιότητα τῆς χώρας, τῇ συνεχείᾳ τῶν πόνων*.—41°. Gram. § 133. 2. b). p. 270.

ἐργάζεσθαι. Κυνηγίας δὲ ποιοῦνται συνεχεῖς, ἐν αἷς πολλὰ τῶν θηρίων χειρούμενοι, τὴν ἐκ τῶν καρπῶν σπάνιν διορθοῦνται. Θρασεῖς δ' εἰσὶ καὶ γενναῖοι οὐ μόνον εἰς πόλεμον, ἀλλὰ καὶ πρὸς τὰς ἐν τῷ βίῳ περιστάσεις τὰς ἐχούσας δεινότητας. Ἐμπορευόμενοι[42] γὰρ πλέουσι τὸ Σαρδῷον καὶ τὸ Λιβυκὸν πέλαγος, ἑτοίμως ἑαυτοὺς ῥίπτοντες εἰς ἀβοηθήτους κινδύνους. Σκάφεσι γὰρ χρώμενοι τῶν σχεδιῶν εὐτελεστέροις, καὶ τοῖς ἄλλοις χρησίμοις ἥκιστα κατεσκευασμένοις, ὑπομένουσι τὰς ἐκ τῶν χειμώνων φοβερωτάτας περιστάσεις καταπληκτικῶς.

23. Συνεχεῖς τούτοις εἰσὶν οἱ Τυῤῥηνοὶ, οἱ παρὰ τοῖς Ῥωμαίοις Ἑτροῦσκοι καὶ Τοῦσκοι προσαγορεύονται, τὰ πεδία ἔχοντες τὰ μέχρι τοῦ ποταμοῦ τοῦ Τιβέριδος. Ῥεῖ δὲ ἐκ τῶν Ἀπεννίνων ὀρῶν ὁ Τίβερις· πληροῦται δὲ ἐκ πολλῶν ποταμῶν· μέρος μέντοι δι' αὐτῆς φερόμενος τῆς Τυῤῥηνίας, τὸ δ' ἐφεξῆς διορίζων ἀπ' αὐτῆς, πρῶτον μὲν τὴν Ὀμβρικὴν, εἶτα τοὺς Σαβίνους καὶ Λατίνους, τοὺς πρὸς τῇ Ῥώμῃ μέχρι τῆς παραλίας.—24. Οἱ Τυῤῥηνοὶ, τὸ μὲν παλαιὸν ἀνδρείᾳ διενέγκαντες,[43] χώραν πολλὴν κατεκτήσαντο, καὶ πόλεις ἀξιολόγους καὶ πολλὰς ἔκτισαν. Ὁμοίως δὲ καὶ ναυτικαῖς δυνάμεσιν ἰσχύσαντες, καὶ πολλοὺς χρόνους θαλαττοκρατήσαντες, τὸ μὲν παρὰ τὴν Ἰταλίαν πέλαγος ἀφ' ἑαυτῶν ἐποίησαν Τυῤῥηνικὸν προσαγορευθῆναι· τὰ δὲ κατὰ τὰς πεζικὰς δυνάμεις ἐκπονήσαντες, τήν τε σάλπιγγα ἐξεῦρον, καὶ πολλὰ ἄλλα, ὧν τὰ πλεῖστα Ῥωμαῖοι μιμησάμενοι μετήνεγκαν ἐπὶ τὴν ἰδίαν πολιτείαν. Γράμματά τε καὶ φυσιολογίαν καὶ θεολογίαν ἐξεπόνησαν ἐπὶ πλεῖον, καὶ τὰ περὶ τὴν κεραυνοσκοπίαν μάλιστα πάντων ἀνθρώπων ἐξειργάσαντο. Χώραν δὲ νεμόμενοι παμφόρον, καὶ ταύτην ἐξερ-

---

42°. that is, ἐμπορίας χάριν.—43°. διαφέρω.

γαζόμενοι, καρπῶν ἀφθονίαν ἔχουσιν. Ἐνδοξότατοι δὲ τὸ πρὶν ὄντες, εἰς τρυφὴν ὠλίσθησαν, καὶ ἐν πότοις τε καὶ ῥᾳθυμίαις βιοῦντες, τὴν ἐκ παλαιῶν χρόνων παρ' αὐτοῖς ζηλουμένην ἀλκὴν καὶ τὴν τῶν πατέρων δόξαν ἐν τοῖς πολέμοις ἀποβεβλήκασιν.

25. Ἡ τῶν Λατίνων χώρα μεταξὺ κεῖται τῆς τε ἀπὸ τῶν Ὠστίων παραλίας, μέχρι πόλεως Σινυέσσης καὶ τῆς Σαβινῆς· ἐκτείνεται δὲ ἐπὶ μῆκος μέχρι τῆς Καμπανίας καὶ τῶν Σαυνιτικῶν ὀρῶν.—26. Ἅπασα ἡ Λατίνη, οὗ Ῥώμη κεῖται, ἐστὶν εὐδαίμων καὶ παμφόρος, πλὴν ὀλίγων χωρίων τῶν κατὰ τὴν παραλίαν ὅσα ἑλώδη καὶ νοσερὰ, ἢ εἴ τινα[44] ὀρεινὰ καὶ πετρώδη· καὶ ταῦτα δ' οὐ τελέως ἀργὰ, οὐδ' ἄχρηστα, ἀλλὰ νομὰς παρέχει δαψιλεῖς ἢ ὕλην, ἢ καρπούς τινας ἑλείους ἢ πετραίους. Τὸ δὲ Καίκουβον ἑλῶδες ὂν, εὐοινοτάτην ἄμπελον τρέφει, τὴν δενδρῖτιν.

27. Τὸ Καμπανίαν πεδίον εὐδαιμονέστατον τῶν ἁπάντων ἐστί· περίκεινται δ' αὐτῷ γεωλοφίαι τε εὔκαρποι, καὶ ὄρη τά τε τῶν Σαυνιτῶν καὶ τὰ τῶν Ὄσκων. Διὰ δὲ τὴν ἀρετὴν περιμάχητον ἦν τὸ πεδίον. Ἱστορεῖται δὲ ἔνια τῶν πεδίων σπείρεσθαι δι' ἔτους, δὶς μὲν τῇ ζέᾳ, τὸ δὲ τρίτον ἐλύμῳ, τινὰ δὲ καὶ λαχανεύεσθαι τῷ τετάρτῳ σπόρῳ. Καὶ μὴν τὸν οἶνον τὸν κράτιστον ἐντεῦθεν ἔχουσι Ῥωμαῖοι, τὸν Φάλερον, καὶ τὸν Στάτανον καὶ Κάληνον. Ὡς δ' αὔτως[45] εὐέλαιός ἐστι, καὶ πᾶσα ἡ περὶ τὸ Οὐέναφρον ὅμορον τοῖς πεδίοις ὄν.

28. Ὑπέρκειται δὲ τῶν τόπων τούτων[46] ὄρος τὸ Οὐεσσούϊον, ἀγροῖς περιοικούμενον παγκάλοις, πλὴν τῆς κορυφῆς· αὕτη δ' ἐπίπεδος μὲν πολὺ μέρος ἐστὶν, ἄκαρπος δ' ὅλη· ἐκ δὲ τῆς ὄψεως τεφρώδης, καὶ κοιλάδας

44°. equivalent to ἅτινα. See p. 136, note 23.—45°. ὡσαύτως δέ.—46°. above Pompeii, Naples, and Herculaneum.

φαίνει σηραγγώδεις πετρῶν αἰθαλωδῶν κατὰ τὴν χρόαν, ὡς ἂν ἐκβεβρωμένων ὑπὸ πυρός· ὡς τεκμαίροιτ᾽ ἄν τις, τὸ χωρίον τοῦτο καίεσθαι πρότερον, καὶ ἔχειν κρατῆρας πυρὸς, σβεσθῆναι δ᾽ ἐπιλιπούσης τῆς ὕλης.[47]

29. Ἡ Κρότων, ἣν Μύσκελλος ἔκτισε, δοκεῖ τά τε πολέμια καλῶς ἀσκῆσαι, καὶ τὰ περὶ τὴν ἄθλησιν. Ἐν μιᾷ γοῦν Ὀλυμπιάδι οἱ τῶν ἄλλων προτερήσαντες τῷ σταδίῳ ἑπτὰ ἄνδρες ἅπαντες ὑπῆρξαν Κροτωνιᾶται· ὥστ᾽ εἰκότως εἰρῆσθαι δοκεῖ, διότι Κροτωνιατῶν ὁ ἔσχατος πρῶτος ἦν τῶν ἄλλων Ἑλλήνων. Πλείστους οὖν Ὀλυμπιονίκας ἔσχε, καίπερ οὐ πολὺν χρόνον οἰκηθεῖσα, διὰ τὸν φθόρον τῶν ἐπὶ Σάγρᾳ[48] πεσόντων ἀνδρῶν, πλείστων τὸ πλῆθος. Προσέβαλε δὲ τῇ τῆς πόλεως δόξῃ καὶ τὸ τῶν Πυθαγορείων πλῆθος, καὶ Μίλων, ἐπιφανέστατος μὲν τῶν ἀθλητῶν γεγονὼς, ὁμιλητὴς δὲ Πυθαγόρου, διατρίψαντος ἐν τῇ πόλει πολὺν χρόνον. Φασὶ δὲ ἐν τῷ συσσιτίῳ ποτὲ τῶν φιλοσόφων πονήσαντος στύλου, τὸν Μίλωνα ὑποδύντα σῶσαι ἅπαντας, ὑποσπάσαι δὲ ἑαυτόν. Τῇ δὲ αὐτῇ ῥώμῃ πεποιθότα εἰκός ἐστιν εὑρέσθαι τὴν τοῦ βίου καταστροφήν. Λέγεται γοῦν ὁδοιπορῶν ποτε δι᾽ ὕλης βαθείας εὑρεῖν ξύλον μέγα ἐσφηνωμένον· ἐμβαλὼν δὲ χεῖρας ἅμα καὶ πόδας εἰς τὴν διάστασιν βιάζεσθαι πρὸς τὸ διασχίσαι τελέως· τοσοῦτον δ᾽ ἴσχυσε μόνον,[49] ὥστ᾽ ἐκπεσεῖν τοὺς σφῆνας, εἶτ᾽ εὐθὺς συμπεσεῖν τὰ μέρη τοῦ ξύλου, ἀποληφθέντα[50] δ᾽ αὐτὸν ἐν τῇ τοιαύτῃ πάγῃ θηρόβρωτον γενέσθαι.

47°. The first eruption from Vesuvius, of which there is any account, took place A. D. 79. As this was in the reign of Titus, it was of course unknown to Strabo, from whom the extract in the text is taken, and who lived under Augustus. Marks of older eruptions however were visible on the mountain and in the whole circumjacent region.—48°. The citizens of Crotona were defeated in a great battle by the Locrians, at the river Sagra.—49°. *His strength went so far only.*—50°. ἀπολαμβάνω.

30. Ἑφεξῆς δ' ἐστὶν Ἀχαιῶν κτίσμα ἡ Σύβαρις, δυοῖν ποταμῶν μεταξὺ, Κράθιδος καὶ Συβάριδος. Τοσοῦτον[51] δ' εὐτυχίᾳ διήνεγκεν ἡ πόλις αὕτη τὸ παλαιὸν, ὡς τεττάρων μὲν ἐθνῶν τῶν πλησίον ἐπῆρξε, πέντε δὲ καὶ εἴκοσι πόλεις ὑπηκόους ἔσχε, τριάκοντα δὲ μυριάσιν ἀνδρῶν ἐπὶ Κροτωνιάτας ἐστράτευσαν, πεντήκοντα δὲ σταδίων κύκλον συνεπλήρουν οἰκοῦντες ἐπὶ τῷ Κράθιδι. Ὑπὸ μέντοι τρυφῆς καὶ ὕβρεως τὴν εὐδαιμονίαν ἅπασαν ἀφηρέθησαν ὑπὸ Κροτωνιατῶν, ἐν ἡμέραις ἑβδομήκοντα· ἑλόντες γὰρ τὴν πόλιν, ἐπήγαγον[52] τὸν ποταμὸν, καὶ κατέκλυσαν.

31. Διαβόητοι εἰσὶν ἐπὶ τρυφῇ οἱ Συβαρῖται, οἳ τὰς ποιούσας ψόφον τέχνας οὐκ ἐῶσιν ἐπιδημεῖν τῇ πόλει, οἷον χαλκέων καὶ τεκτόνων καὶ τῶν ὁμοίων, ὅπως αὐτοῖς πανταχόθεν ἀθόρυβοι ὦσιν[53] οἱ ὕπνοι. Οὐκ ἐξῆν δ' οὐδ' ἀλεκτρυόνα ἐν τῇ πόλει τρέφεσθαι. Ἱστορεῖ δὲ περὶ αὐτῶν Τίμαιος,[54] ὅτι ἀνὴρ Συβαρίτης, εἰς ἀγρόν ποτε πορευόμενος, ἔφη, ἰδὼν τοὺς ἐργάτας σκάπτοντας, αὐτὸς ῥῆγμα λαβεῖν·[55] πρὸς ὃν[56] ἀποκρίνασθαί τινα τῶν ἀκȣσάντων, Αὐτὸς δὲ σοῦ διηγȣμένȣ ἀκούων πεπόνηκα τὴν πλευράν.—Ἄλλος δὲ Συβαρίτης παραγενόμενος εἰς Λακεδαίμονα, καὶ κληθεὶς εἰς φειδίτιον, ἐπὶ τῶν ξύλων κατακείμενος καὶ δειπνῶν μετ' αὐτῶν,[57] πρότερον μὲν ἔφη καταπεπλῆχθαι τὴν τῶν Λακεδαιμονίων πυνθανόμενος[58] ἀνδρείαν, νῦν δὲ θεασάμενος νομίζειν μηδὲν τῶν ἄλλων αὐτοὺς διαφέρειν· καὶ γὰρ τὸν ἀναν-

---

51°. for τοσοῦτο (as above τοιοῦτον for τοιοῦτο).—52°. τῇ πόλει understood. After κατέκλυσαν also αὐτὴν must be supplied in thought.—53°. Gram. § 140. 2. p. 283.—54°. Timæus, the author of a history of Italy and Sicily, which is not extant.—55°. In Latin, *dixit se accepisse.* See Gram. § 143. 2. 1). p. 291.—56°. that is, καὶ πρὸς τοῦτον.—57°. τῶν Λακεδαιμονίων included mentally in Λακεδαίμονα.—58°. *while he knew it only by report.*

δρότατον μᾶλλον ἂν ἑλέσθαι[59] *ἀποθανεῖν, ἢ τοιοῦτον βίον ζῶντα καρτερεῖν.*—32. *Δοκεῖ δὲ μετὰ τὴν εὐδαιμονίας αὐτῶν καὶ ὁ τῆς πόλεως τόπος παροξῦναι αὐτὰς ἐκτρυφῆσαι· ἡ γὰρ πόλις αὐτῶν ἐν κοίλῳ κεμένη, τοῦ μὲν θέρους, ἕωθέν τε καὶ πρὸς ἑσπέραν ψύχος ὑπερβάλλον ἔχει, τὸ δὲ μέσον τῆς ἡμέρας καῦμα ἀνύποιστον· ὅθεν καὶ ῥηθῆναι,*[60] *ὅτι τὸν βουλόμενον ἐν Συβάρει μὴ πρὸ μοίρας ἀποθανεῖν οὔτε δυόμενον, οὔτε ἀνίσχοντα τὸν ἥλιον ὁρᾷν δεῖ.*—33. *Ἐς τηλικοῦτον δ' ἦσαν τρυφῆς ἐληλακότες,*[61] *ὡς καὶ παρὰ τὰς εὐωχίας τοὺς ἵππους ἐθίσαι πρὸς αὐλὸν ὀρχεῖσθαι. Τοῦτ' οὖν εἰδότες οἱ Κροτωνιᾶται, ὅτε αὐτοῖς ἐπολέμουν, ἐνέδοσαν τὸ ὀρχηστικὸν μέλος· συμπαρῆσαν γὰρ αὐτοῖς καὶ αὐληταὶ ἐν στρατιωτικῇ σκευῇ· καὶ ἅμα*[62] *αὐλούντων ἀκούοντες οἱ ἵπποι, οὐ μόνον ἐξωρχήσαντο, ἀλλὰ καὶ τοὺς ἀναβάτας ἔχοντες*[63] *ηὐτομόλησαν πρὸς τοὺς Κροτωνιάτας.*

34. *Ἡ Σικελία πασῶν τῶν νήσων καὶ κρατίστη ἐστὶ, καὶ τῇ παλαιότητι τῶν μυθολογουμένων πεπρώτευκεν. Ἡ γὰρ νῆσος τὸ παλαιὸν ἀπὸ μὲν τοῦ σχήματος Τρινακρία κληθεῖσα, ἀπὸ δὲ τῶν κατοικησάντων αὐτὴν Σικανῶν Σικανία προσαγορευθεῖσα, τελευταῖον ἀπὸ τῶν Σικελῶν τῶν ἐκ τῆς Ἰταλίας πανδημεὶ περαιωθέντων ὠνόμασαι Σικελία. Ἔστι δ', αὐτῆς ἡ περίμετρος σταδίων ὡς τετρακισχιλίων τριακοσίων ἑξήκοντα. Οἱ ταύτην οὖν κατοικοῦντες Σικελιῶται παρειλήφασι παρὰ τῶν προγόνων, ἀεὶ τῆς φήμης ἐξ αἰῶνος παραδεδομένης τοῖς ἐκγόνοις, ἱερὰν ὑπάρχειν τὴν νῆσον Δήμητρος καὶ Κόρης, καὶ ταύτας τὰς θεὰς ἐν αὐτῇ πρώτως φανῆναι,*

59°. *ἑλέσθαι ἂν, præoptaturam esse.* Gram. § 140. Rem. 2. p. 286.—60°. The infinitive *ῥηθῆναι* is governed by *δοκεῖ* above.—61°. *ἐλαύνω.*—62°. *ἅμα, as soon as.*—63°. That is, *σὺν αὐτοῖς τοῖς ἀναβάταις.*

καὶ τὸν τοῦ σίτου καρπὸν ταύτην[64] πρώτην ἀνεῖναι, διὰ τὴν ἀρετὴν τῆς χώρας.—35. Καὶ τῆς ἁρπαγῆς τῆς κατὰ τὴν Κόρην[65] ἐν ταύτῃ γενομένης ἀπόδειξιν εἶναι λέγουσι φανερωτάτην, ὅτι τὰς διατριβὰς αἱ θεαὶ κατὰ ταύτην τὴν νῆσον ἐποιοῦντο, διὰ τὸ στέργεσθαι μάλιστα παρ' αὐταῖς ταύτην. Γενέσθαι δὲ μυθολογοῦσι τῆς Κόρης τὴν ἁρπαγὴν ἐν τοῖς λειμῶσι τοῖς κατὰ τὴν Ἔνναν. Ἔστι δ' ὁ τόπος οὗτος πλησίον μὲν τῆς πόλεως, ἴοις δὲ καὶ τοῖς ἄλλοις ἄνθεσι παντοδαποῖς εὐπρεπὴς καὶ θέας ἄξιος. Διὰ δὲ τὴν ἀπὸ τῶν φυομένων ἀνθῶν εὐωδίαν, λέγεται τοὺς κυνηγεῖν εἰωθότας κύνας μὴ δύνασθαι στιβεύειν, ἐμποδιζομένους τὴν φυσικὴν αἴσθησιν.[66] Ἔστι δὲ ὁ προειρημένος λειμὼν ἄνωθεν μὲν ὁμαλὸς καὶ παντελῶς εὔυδρος, κύκλῳ δὲ ὑψηλὸς καὶ πανταχόθεν κρημνοῖς ἀπότομος· δοκεῖ δ' ἐν μέσῳ κεῖσθαι τῆς ὅλης νήσου, διὸ καὶ Σικελίας ὀμφαλὸς ὑπό τινων ὀνομάζεται. Ἔχει δὲ καὶ πλησίον ἄλση καὶ λειμῶνας καὶ περὶ ταῦτα ἕλη, καὶ σπήλαιον εὐμέγεθες, ἔχον χάσμα κατάγειον, πρὸς τὴν ἄρκτον νενευκός· δι' οὗ μυθολογοῦσι τὸν Πλούτωνα μεθ' ἅρματος ἐπελθόντα, ποιήσασθαι τὴν ἁρπαγὴν τῆς Κόρης. Μετὰ δὲ τὴν ἁρπαγὴν μυθολογοῦσι τὴν Δήμητραν, μὴ δυναμένην εὑρεῖν τὴν θυγατέρα, λαμπάδας ἐκ τῶν κατὰ τὴν Αἴτνην κρατήρων ἀναψαμένην, ἐπελθεῖν ἐπὶ πολλὰ μέρη τῆς οἰκουμένης· τῶν δ' ἀνθρώπων τοὺς μάλιστα ταύτην προςδεξαμένους εὐεργετῆσαι, τὸν τῶν πυρῶν καρπὸν ἀντιδωρησαμένην.

36. Τὰ ἄνω τῆς Αἴτνης χωρία ψιλά ἐστι, καὶ τεφρώδη, καὶ χιόνος μεστὰ τοῦ χειμῶνος· τὸ κάτω δὲ

64°. τὴν νῆσον understood.—65°. periphrastically for καὶ τῆς ἁρπαγῆς Κόρης.—66°. instead of τῆς φυσικῆς αἰσθήσεως ἐμποδιζομένης.

ὀρυμοῖς καὶ φυτείαις διείληπται[67] παντοδαπαῖς. Ἔοικε ὲ λαμβάνειν μεταβολὰς πολλὰς τὰ ἄκρα τοῦ ὄρους ιὰ τὴν νομὴν τοῦ πυρὸς, τοτὲ μὲν εἰς ἕνα κρατῆρα υμφερομένου, τοτὲ δὲ σχιζομένου, καὶ τοτὲ μὲν ῥύακας ἀναπέμποντος, τοτὲ δὲ φλόγας καὶ λιγνῦς, ἄλλοτε δὲ :αὶ μύδρους ἀναφυσῶντος. Νύκτωρ μὲν καὶ φέγγη αίνεται λαμπρὰ ἐκ τῆς κορυφῆς, μεθ᾽ ἡμέραν δὲ :απνῷ καὶ ἀχλύϊ κατέχεται.

37. Ἡ Κύρνος, νῆσος, ἣ ὑπὸ τῶν Ῥωμαίων καὶ τῶν ἐγχωρίων Κόρσικα ὀνομάζεται, εὐμεγέθης οὖσα, πολλὴν ῆς χώρας ὀρεινὴν ἔχει,[68] πεπυκασμένην δρυμοῖς συνε-έσι, καὶ ποταμοῖς διαῤῥεομένην μικροῖς. Οἱ δ᾽ ἐγχώ-ιοι τροφαῖς μὲν χρῶνται γάλακτι καὶ μέλιτι καὶ κρέασι, αψιλῶς πάντα ταῦτα παρεχομένης τῆς χώρας· τὰ ὲ[69] πρὸς ἀλλήλους βιοῦσιν ἐπιεικῶς καὶ δικαίως, παρὰ άντας σχεδὸν τοὺς ἄλλους βαρβάρους. Τά τε γὰρ κατὰ τὴν ὀρεινὴν ἐν τοῖς δένδρεσιν εὑρισκόμενα κηρία ῶν πρώτων εὑρισκόντων ἐστὶ, μηδενὸς ἀμφισβητοῦντος· ὰ δὲ πρόβατα σημείοις διειλημμένα,[67] κἂν μηδεὶς υλάττῃ,[70] σώζεται τοῖς κεκτημένοις· ἔν τε ταῖς ἄλλαις αῖς ἐν βίῳ οἰκονομίαις θαυμαστῶς προτιμῶσι τὸ δι-καιοπραγεῖν. Φύεται δὲ κατὰ τὴν νῆσον ταύτην καὶ πύξος πλείστη καὶ διάφορος, δι᾽ ἣν καὶ τὸ μέλι τὸ γιγνόμενον ἐν αὐτῇ παντελῶς γίγνεται πικρόν. Κατ-οικοῦσι δ᾽ αὐτὴν βάρβαροι,[71] τὴν διάλεκτον ἔχοντες ἐξηλλαγμένην καὶ δυσκατανόητον· τὸν δ᾽ ἀριθμὸν ὑπάρχουσιν ὑπὲρ τοὺς τρισμυρίους.

38. Ἡ Πελοπόννησος ἐοικυῖά ἐστι φύλλῳ πλατάνου τὸ σχῆμα, ἴση δὲ σχεδόν τι κατὰ μῆκος καὶ κατὰ

67°. διαλαμβάνω.—68°. τὰ πολλὰ ὀρεινή ἐστιν.—69°. πρὸς ἀλλήλους δέ· that is, as respects their conduct to each other.—70°. Gram. § 140. 7. p. 284. κἂν for καὶ ἐάν.—71°. The most common meaning of βάρβαρος is, a people who do not speak Greek.

πλάτος. Ἔχουσι δὲ τῆς Χεῤῥονήσου ταύτης, τὸ μὲν ἑσπέριον μέρος Ἠλεῖοι καὶ Μεσσήνιοι, κλυζόμενοι τῷ Σικελικῷ πελάγει· ἑξῆς δὲ μετὰ τὴν Ἠλείαν ἐστὶ τὸ τῶν Ἀχαιῶν ἔθνος, πρὸς ἄρκτους βλέπον, καὶ τῷ Κορινθιακῷ κόλπῳ παρατεῖνον· τελευτᾷ δὲ εἰς τὴν Σικυωνίαν. Ἐντεῦθεν δὲ Σικυὼν καὶ Κόρινθος ἐκδέχεται μέχρι τοῦ ἰσθμοῦ. Μετὰ δὲ τὴν Μεσσηνίαν ἡ Λακωνικὴ, καὶ ἡ Ἀργεία, μέχρι τοῦ ἰσθμοῦ καὶ αὐτή.[72] Μέση δὲ ἐστὶν ἡ Ἀρκαδία, πᾶσιν ἐπικειμένη, καὶ γειτνιῶσα τοῖς ἄλλοις ἔθνεσιν.

39. Πολλὰ μὲν δὴ καὶ ἄλλα ἴδοι τις ἂν[73] ἐν Ἑλλάδι καὶ ἀκοῦσαι θαύματος ἄξια, μάλιστα δὲ τὰ ἐν Ὀλυμπίᾳ. Αὕτη ἡ πόλις τὴν ἐπιφάνειαν ἔσχεν ἐξ ἀρχῆς μὲν διὰ τὸ μαντεῖον τοῦ Ὀλυμπίου Διός· ἐκείνου δ᾽ ἐκλειφθέντος,[74] οὐδὲν ἧττον συνέμεινεν ἡ δόξα τοῦ ἱεροῦ, καὶ τὴν αὔξησιν, ὅσην ἴσμεν,[75] ἔλαβε διά τε τὴν πανήγυριν καὶ τὸν ἀγῶνα τὸν Ὀλυμπιακὸν, μεγίστον τῶν ἁπάντων. Ἐκοσμήθη δ᾽ ἐκ τοῦ πλήθους τῶν ἀναθημάτων, ἅπερ ἐκ πάσης ἀνετίθετο τῆς Ἑλλάδος, ὧν ἦν καὶ ὁ χρυσοῦς σφυρήλατος Ζεὺς, ἀνάθημα Κυψέλου τοῦ Κορινθίων τυράννου. Μέγιστον δὲ τούτων[76] ὑπῆρξε τὸ τοῦ Διὸς ξόανον, ὃ ἐποίησε Φειδίας, Χαρμίδου, Ἀθηναῖος.—40. Καθέζεται μὲν δὴ ὁ θεὸς ἐν θρόνῳ, χρυσοῦ[77] πεποιημένος καὶ ἐλέφαντος. Στέφανος δὲ ἐπίκειται οἱ[78] τῇ κεφαλῇ, μεμιμημένος ἐλαίας κλῶνας. Ἐν μὲν τῇ δεξιᾷ φέρει Νίκην ἐξ ἐλέφαντος, καὶ ταύτην χρυσοῦ ταινίαν τε ἔχουσαν, καὶ ἐπὶ τῇ κεφαλῇ στέφανον· τῇ δὲ ἀριστερᾷ τοῦ θεοῦ χάριέν ἐςι

72°. *also in like manner.*—73°. Gram. § 140. 11. p. 286.—74°. *when oracles ceased to be given here.*—75°. *the well known present repute.*—76°. τῶν ἀναθημάτων understood.—77°. Gram. § 132. 3. c). p. 268.—78°. for αὐτῷ. The more common phraseology would be τῇ αὐτοῦ κεφαλῇ.

σκῆπτρον μετάλλοις τοῖς πᾶσιν ἠνθισμένον. Ὁ δὲ ὄρνις, ὁ ἐπὶ τῷ σκήπτρῳ καθήμενος, ἐστὶν ὁ ἀετός. Χρυσοῦ δὲ καὶ τὰ ὑποδήματα τῷ θεῷ[79] καὶ ἱμάτιον ὡσαύτως ἐστί. Τῷ δὲ ἱματίῳ ζώδιά τε καὶ τῶν ἀνθῶν τὰ κρίνα[80] ἐστὶν ἐμπεποιημένα. Ὁ δὲ θρόνος ποικίλος μὲν χρυσῷ καὶ λίθοις, ποικίλος δὲ καὶ ἐβένῳ τε καὶ ἐλέφαντι.

41. Τὴν μὲν Λακωνικὴν Εὐριπίδης φησὶν ἔχειν πολλὴν μὲν ἄροτον, ἐκπονεῖν δ' οὐ ῥάδιον· κοίλη γὰρ, ὄρεσι περίδρομος, τραχεῖά τε, δυσείσβολός τε πολεμίοις· τὴν δὲ Μεσσηνιακὴν καλλίκαρπον ὁ αὐτὸς λέγει, καὶ κατάῤῥυτον, καὶ βουσὶ καὶ ποίμναισιν εὐβοτωτάτην.—Εὔσειστος δὲ ἡ Λακωνικὴ, καὶ δὴ τοῦ Ταϋγέτου κορυφάς τινας ἀποῤῥαγῆναί τινες μνημονεύουσιν. Εἰσὶ δὲ λατομίαι λίθου πολυτελοῦς, τοῦ μὲν Ταιναρίου ἐν Ταινάρῳ παλαιαί· νεωστὶ δὲ καὶ ἐν τῷ Ταϋγέτῳ μέταλλον ἀνέῳξάν[81] τινες εὐμέγεθες, χορηγὸν ἔχοντες τὴν τῶν Ῥωμαίων πολυτέλειαν.[82]

42. Λακεδαιμονίοις τέχνας μανθάνειν ἄλλας ἢ τὰς εἰς πόλεμον, αἰσχρόν ἐστιν. Ἑστιῶνται δὲ πάντες ἐν κοινῷ· τοὺς δὲ γέροντας αἰσχύνονται οὐδὲν ἧττον ἢ πατέρας· γυμνάσια δ' ὥσπερ ἀνδρῶν ἐστὶν οὕτω καὶ παρθένων. Ξένοις δ' ἐμβιοῦν οὐκ ἔξεστιν ἐν Σπάρτῃ, οὔτε Σπαρτιάταις ξενιτεύειν. Χρηματίζεσθαι αἰσχρὸν Σπαρτιάτῃ· νομίσματι δὲ χρῶνται σκυτίνῳ· ἐὰν δὲ παρά τινι εὑρεθῇ χρυσὸς ἢ ἄργυρος, θανάτῳ ζημιοῦται. Σεμνύνονται δὲ πάντες ἐπὶ τῷ ταπεινοὺς αὑτοὺς παρέχειν καὶ κατηκόους ταῖς ἀρχαῖς. Μακαρίζονται δὲ μᾶλλον παρ' αὐτοῖς οἱ γενναίως ἀποθνήσκοντες ἢ οἱ εὐτυχῶς

79°. instead of τοῦ θεοῦ.—80°. *and of flowers, the lily.*—81°. ἀνοίγω.—82°. an undertaking, promoted by the luxury of the Romans, who attached a great value to the marble of Laconia.

ζῶντες. Οἱ δὲ παῖδες νομίμως περὶ τὸν τῆς Ὀρθίας βωμὸν περιϊόντες μαστιγοῦνται. Αἰσχρὸν δέ ἐστι δειλῶν σύσκηνον ἢ συγγυμναστὴν ἢν φίλον γενέσθαι. Μάχονται δὲ ἐστεφανωμένοι. Ὑπανίστανται βασιλεῖ πάντες, πλὴν Ἐφόρων. Ὀμνύει δὲ πρὸ τῆς ἀρχῆς ὁ βασιλεὺς κατὰ τοὺς τῆς πόλεως νόμους βασιλεύσειν.

43. Ἱεροπρεπής ἐστι πᾶς ὁ Παρνασὸς ἔχων ἄντρα τε καὶ ἄλλα χωρία, τιμώμενά τε καὶ ἁγιστευόμενα· ὧν ἐστὶ γνωριμώτατον καὶ κάλλιστον τὸ Κωρύκιον ἄντρον. Τῶν δὲ πλευρῶν τοῦ Παρνασοῦ τὸ μὲν ἑσπέριον νέμονται Λοκροί τε οἱ Ὀζόλαι, καί τινες τῶν Δωριέων, καὶ Αἰτωλοί· τὸ δὲ πρὸς ἕω Φωκεῖς καὶ Δωριεῖς· τὸ δὲ νότιον κατέχουσιν οἱ Δελφοὶ, πετρῶδες χωρίον, θεατροειδὲς, κατὰ κορυφὴν ἔχον τὸ μαντεῖον καὶ τὴν πόλιν, σταδίων ἑκκαίδεκα κύκλον πληροῦσαν. Φασὶ δ' εἶναι τὸ μαντεῖον ἄντρον κοῖλον, οὐ μάλα εὐρύστομον· ἀναφέρεσθαι δ' ἐξ αὐτοῦ πνεῦμα ἐνθουσιαστικόν· ὑπερκεῖσθαι δὲ τοῦ στομίου τρίποδα ὑψηλὸν, ἐφ' ὃν τὴν Πυθίαν ἀναβαίνουσαν, δεχομένην τὸ πνεῦμα, ἀποθεσπίζειν ἔμμετρά τε καὶ ἄμετρα.[83]

44. Ἡ τῶν Ἀθηναίων χώρα πέφυκεν οἵα[84] πλείστας προσόδους παρέχεσθαι. Τὰς μὲν γὰρ ὥρας ἐνθάδε πρᾳοτάτας εἶναι καὶ αὐτὰ τὰ γιγνόμενα μαρτυρεῖ· ἃ γοῦν πολλαχοῦ οὐδὲ βλαστάνειν δύναιτ' ἂν, ἐνθάδε καρποφορεῖ· ὥςπερ δὲ ἡ γῆ, οὕτω καὶ ἡ περὶ τὴν χώραν θάλαττα παμφορωτάτη[85] ἐστί. Καὶ μὴν ὅσα πὲρ οἱ θεοὶ ἐν ταῖς ὥραις ἀγαθὰ παρέχουσι, καὶ ταῦτα πάντα ἐνταῦθα πρωϊαίτατα μὲν ἄρχεται, ὀφιαίτατα δὲ λήγει. Οὐ μόνον δὲ κρατεῖ τοῖς ἐπ' ἐνιαυτὸν θάλλουσί τε καὶ

83°. The oracles began to answer in prose, from the time of their decline: ἄμετρα agrees with θεσπίσματα understood.—84°. Gram. § 151. οἷος, p. 313.—85°. This apparently refers to the abundance of fish.

γηράσκουσιν, ἀλλὰ καὶ ἀΐδια ἀγαθὰ ἔχει ἡ χώρα. Πέφυκε μὲν γὰρ λίθος[86] ἐν αὐτῇ ἄφθονος, ἐξ οὗ κάλλιστοι μὲν ναοί, κάλλιστοι δὲ βωμοὶ γίγνονται, εὐπρεπέστατα δὲ θεοῖς ἀγάλματα· πολλοὶ δ' αὐτοῦ καὶ Ἕλληνες καὶ βάρβαροι προςδέονται. Ἔστι δὲ καὶ γῆ,[87] ἣ σπειρομένη μὲν οὐ φέρει καρπόν, ὀρυσσομένη δὲ πολλαπλασίους[88] τρέφει, ἢ εἰ σῖτον ἔφερε· καὶ μὴν ὑπάργυρός ἐστι θείᾳ μοίρᾳ. Πολλῶν γοῦν πόλεων παροικουσῶν καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, εἰς οὐδεμίαν τούτων οὐδὲ μικρὰ φλὲψ ἀργυρίτιδος διήκει.

45. Ἐν τῇ παραλίᾳ τῆς Ἀττικῆς ἐστὶν ἡ Ἐλευσὶς πόλις, ἐν ᾗ τὸ τῆς Δήμητρος ἱερὸν τῆς Ἐλευσινίας· καὶ ὁ μυστικὸς σηκός, ὃν κατεσκεύασεν Ἰκτῖνος, ὃς καὶ τὸν Παρθενῶνα ἐποίησε τὸν ἐν ἀκροπόλει[89] τῇ Ἀθηνᾷ, Περικλέους ἐπιστατοῦντος τῶν ἔργων. Ἐν δὲ τοῖς δήμοις[90] καταριθμεῖται ἡ πόλις.—46. Λόφος δ' ἐστὶν ἡ Μουνυχία χεῤῥονησίζων. Τὸ μὲν οὖν παλαιὸν ἐτετείχιστο καὶ συνῴκιστο ἡ Μουνυχία, προςειληφυῖα[91] τῷ περιβόλῳ τὸν Πειραιᾶ καὶ τοὺς λιμένας πλήρεις νεωρίων· ἀξιόν τε ἦν ναύσταθμον τετρακοσίαις ναυσίν. Τῷ δὲ τείχει τούτῳ συνῆπται τὰ καθειλκυσμένα ἐκ τοῦ ἄστεος σκέλη· ταῦτα δ' ἦν μακρὰ τείχη, τετταράκοντα σταδίων τὸ μῆκος, συνάπτοντα τὸ ἄστυ τῷ Πειραιεῖ. Οἱ δὲ πολλοὶ πόλεμοι τὸ τεῖχος κατήρειψαν καὶ τὸ τῆς Μουνυχίας ἔρυμα, τόν τε Πειραιᾶ συνέστειλαν εἰς ὀλίγην κατοικίαν.

47. Πόλεις εἰσὶν ἐν τῇ Κρήτῃ νήσῳ πλείους μέν, μέγισται δὲ καὶ ἐπιφανέσταται τρεῖς, Κνωσσός, Γόρτυνα,

---

86°. alluding to the white marble quarries of Pentelicus.—87°. μέρος τι τῆς χώρας.—88°. that is, πολλῷ πλείονας.—89°. in the citadel of Athens.—90°. τῆς Ἀττικῆς understood. Attica was divided into one hundred and seventy four δήμους or districts; ἡ πόλις, that is, Ἐλευσίς.—91°. προςλαμβάνω.

Κυδωνία. Διαφερόντως δὲ τὴν Κνωσσὸν καὶ Ὅμηρος ὑμνεῖ, μεγάλην καλῶν, καὶ βασίλειον τοῦ Μίνω, καὶ οἱ ὕστερον. Καὶ δὴ καὶ διετέλεσε μέχρι πολλοῦ[92] φερομένη[93] τὰ πρῶτα· εἶτα ἐταπεινώθη, καὶ πολλὰ τῶν νομίμων ἀφηρέθη. Ὕστερον δὲ ἀνέλαβε πάλιν τὸ παλαιὸν σχῆμα τὸ τῆς μητροπόλεως. Ἱστορεῖται δὲ ὁ Μίνως νομοθέτης γενέσθαι σπουδαῖος, θαλαττοκρατῆσαί τε πρῶτος. Προσεποιεῖτο δὲ Μίνως παρὰ τοῦ Διὸς αὐτοῦ μεμαθηκέναι τοὺς νόμους, δι' ἐννέα ἐτῶν εἴς τι ὄρος φοιτῶν, ἐν ᾧ Διὸς ἄντρον ἐλέγετο, κἀκεῖθεν ἀεί τινας νόμους φέρων τοῖς Κρησί. Ὅμηρος αὐτὸν Διὸς μεγάλου ὀαριστὴν λέγει. Οἱ ἀρχαῖοι δὲ περὶ αὐτοῦ πάλιν ἄλλους εἰρήκασι λόγους ὑπεναντίους τούτοις· ὡς τυραννικός τε γένοιτο,[94] καὶ βίαιος, καὶ δυσμολόγος· τραγῳδοῦντες τὰ περὶ τὸν Μινώταυρον, καὶ τὸν Λαβύρινθον, καὶ τὰ Θησεῖ συμβάντα καὶ Δαιδάλῳ.

II. ASIA.

1. Τῇ δ' Εὐρώπῃ συνεχής ἐστιν ἡ Ἀσία κατὰ τὸν Τάναϊν συνάπτουσα αὐτῇ· περὶ ταύτης οὖν ἐφεξῆς ῥητέον, διελόντας φυσικοῖς τισιν ὅροις τοῦ σαφοῦς χάριν. — Ὁ Ταῦρος μέσην πως διέζωκε ταύτην τὴν ἤπειρον, ἀπὸ τῆς ἑσπερίας ἐπὶ τὴν ἕω τεταμένος, τὸ μὲν αὐτῆς ἀπολείπων πρὸς Βοῤῥᾶν, τὸ δὲ, μεσημβρινόν· καλοῦσι δ' αὐτῶν οἱ Ἕλληνες, τὸ μὲν, ἐντὸς τοῦ Ταύρου, τὸ δὲ, ἐκτός.—Οἱ δὲ ποταμοὶ,[1] ὅσοι κατὰ τὴν Ἀσίαν λόγου ἄξιοι, ἐκ τοῦ Ταύρου τε καὶ τοῦ Καυκάσου ἀνίσχοντες,

---

92°. χρόνου understood.—93°. Gram. § 145. Rem. 5. p. 297.—94°. Gram. § 140. 3. p. 233.

1°. Nominative absolute before distributive clauses, of which some cases have been already noticed.

οἱ μὲν ὡς[2] ἐπ' ἄρκτον τετραμμένον ἔχουσι τὸ ὕδωρ, οἱ δὲ ὡς ἐπὶ νότον ἄνεμον, ὁ Εὐφράτης τε καὶ ὁ Τίγρης, καὶ ὁ Ἰνδός τε καὶ ὁ Ὑδάσπης, καὶ Ἀκεσίνης, καὶ Ὑδραώτης, καὶ Ὕφασις, καὶ ὅσοι ἐν μέσῳ τούτων τε καὶ τοῦ Γάγγου ποταμοῦ εἰς θάλασσαν ἐσβάλλουσιν, ἢ ἐς τενάγη ἀναχεόμενοι ἀφανίζονται, καθάπερ ὁ Εὐφράτης ποταμὸς ἀφανίζεται.

2. Ὁ Καύκασος ὄρος ἐστὶν ὑπερκείμενον τοῦ πελάγους ἑκατέρου, τοῦ τε Ποντικοῦ καὶ τοῦ Κασπίου, διατειχίζον τὸν ἰσθμὸν, τὸν διείργοντα αὐτά. Εὔδενδρον δ' ἐστὶν ὕλῃ παντοδαπῇ, τῇ τε ἄλλῃ καὶ τῇ ναυπηγησίμῳ.—Τὰ ἄκρα τοῦ Καυκάσου κατέχουσιν οἱ Σόανες, κράτιστοι ὄντες κατ' ἀλκὴν καὶ δύναμιν. Παρὰ τούτοις δὲ λέγεται χρυσὸν καταφέρειν τοὺς χειμάῤῥους· ὑποδέχεσθαι δὲ αὐτὸν τοὺς βαρβάρους φάτναις κατατετριμμέναις καὶ μαλλωταῖς δοραῖς· ἀφ' οὗ δὴ μεμυθεῦσθαι καὶ τὸ χρυσόμαλλον δέρος.[3]

3. Τὰ μὲν οὖν ἄλλα ἔθνη τὰ πλησίον περὶ τὸν Καύκασον, λυπρὰ καὶ μικρόχωρα· τὸ δὲ τῶν Ἀλβανῶν ἔθνος, καὶ τὸ τῶν Ἰβήρων, ἃ δὴ πληροῖ μάλιστα τὸν λεχθέντα ἰσθμὸν, εὐδαίμονά τε χώραν ἔχει σφόδρα καλῶς οἰκεῖσθαι δυναμένην.—Καὶ δὴ καὶ ἥγε Ἰβηρία οἰκεῖται καλῶς τὸ πλέον πόλεσί τε καὶ ἐποικίοις, ὥστε καὶ κεραμωτὰς εἶναι στέγας, καὶ ἀρχιτεκτονικὴν τὴν τῶν οἰκήσεων κατασκευὴν, καὶ ἀγορὰς καὶ τἄλλα κοινά. Τῆς δὲ χώρας τὰ μὲν[4] κύκλῳ τοῖς Καυκασίοις ὄρεσι περιέχεται· ἐν μέσῳ δέ ἐστι πεδίον ποταμοῖς διάῤῥυτον, ὃ οἱ γεωργικώτατοι τῶν Ἰβήρων οἰκοῦσιν

2°. ὡς is often thus pleonastically used with prepositions expressing direction.—3°. This clause would be more fully expressed thus, καὶ ἀπὸ τούτου ἀρχὴν λαβέσθαι τὸν μῦθον τὸν περὶ τοῦ χρυσομάλλου δέρους· the fable of the golden fleece.—4°. *one portion of the region.*

Ἀρμενιστί τε καὶ Μηδιστὶ ἐσκευασμένοι. Τὴν δὲ ὀρεινὴν οἱ πλείους, καὶ μάχιμοι κατέχουσι, Σκυθῶν δίκην ζῶντες, καὶ Σαρματῶν, ὧνπερ καὶ ὅμοροι καὶ συγγενεῖς εἰσίν.—4. Ἀλβανοὶ δὲ ποιμενικώτεροι, καὶ τοῦ νομαδικοῦ γένους ἐγγυτέρω, πλὴν οὐκ ἄγριοι· ταύτῃ δὲ καὶ[5] πολεμικοὶ μετρίως. Οἰκοῦσι δὲ μεταξὺ τῶν Ἰβήρων, καὶ τῆς Κασπίας θαλάττης, χώραν νεμόμενοι ἀρίστην καὶ πᾶν φυτὸν ἐκφέρουσαν ἄνευ ἐπιμελείας. Εὐερνῆ δ' ἐστὶ καὶ τὰ βοσκήματα παρ' αὐτοῖς, τά τε ἥμερα καὶ τὰ ἄγρια. Καὶ οἱ ἄνθρωποι κάλλει καὶ μεγέθει διαφέροντες, ἁπλοῖ δὲ καὶ οὐ καπηλικοί· οὐδὲ γὰρ νομίσματι τὰ πολλὰ χρῶνται, οὐδὲ ἀριθμὸν ἴσασι μείζω τῶν ἑκατὸν, ἀλλὰ φορτίοις τὰς ἀμοιβὰς ποιοῦνται· καὶ πρὸς τἄλλα δὲ τὰ τοῦ βίου[6] ῥαθύμως ἔχουσιν. Ἄπειροι δ' εἰσὶ καὶ μέτρων τῶν ἐπ' ἀκριβὲς,[7] καὶ σταθμῶν, καὶ πολέμου τε καὶ πολιτείας καὶ γεωργίας ἀπρονοήτως ἔχουσιν.

5. Ἡ Ἀραβία κεῖται μὲν μεταξὺ Συρίας καὶ τῆς Αἰγύπτου, πολλοῖς δὲ καὶ παντοδαποῖς ἔθνεσι διείληπται.[8] Τὰ μὲν οὖν πρὸς τὴν ἕω μέρη κατοικοῦσιν Ἄραβες, οὓς ὀνομάζουσι Ναβαταίους, νεμόμενοι χώραν τὴν μὲν ἔρημον, τὴν δὲ ἄνυδρον, ὀλίγην δὲ καρποφόρον. Ἔχουσι δὲ βίον λῃστρικὸν, καὶ πολλὴν τῆς ὁμόρου χώρας κατατρέχοντες λῃστεύουσιν, ὄντες δύσμαχοι κατὰ τοὺς πολέμους. Κατὰ γὰρ τὴν ἄνυδρον χῶραν λεγομένην κατεσκευακότες εὔκαιρα φρέατα, καὶ ταῦτα πεποιηκότες τοῖς ἄλλοις ἔθνεσιν ἄγνωστα, συμφεύγουσιν εἰς τὴν χώραν ταύτην ἀκινδύνως. Αὐτοὶ μὲν γὰρ εἰδότες τὰ κατακεκρυμμένα τῶν ὑδάτων, καὶ ταῦτ' ἀνοίγοντες,

---

5°. *and for this reason also.*—6°. *in respect to the other parts of the economy of life.*—7°. ἐπ' ἀκριβὲς, instead of ἀκριβῶν.—8°. διαλαμβάνω.

χρῶνται δαψιλέσι πότοις· οἱ δὲ τούτους ἐπιδιώκοντες ἀλλοεθνεῖς,[9] σπανίζοντες τῆς ὑδρείας διὰ τὴν ἄγνοιαν τῶν φρεάτων, οἱ μὲν ἀπόλλυνται διὰ τὴν σπάνιν τῶν ὑδάτων, οἱ δὲ, πολλὰ κακοπαθήσαντες, μόλις εἰς τὴν οἰκείαν σώζονται. Διόπερ οἱ ταύτην τὴν χώραν κατοικοῦντες Ἄραβες, ὄντες δυςκαταπολέμητοι, διατελοῦσιν ἀδούλωτοι.[10]

6. *Ἡ δ' ἐχομένη τῆς ἀνύδρου καὶ ἐρήμου χώρας Ἀραβία τοσοῦτο διαφέρει ταύτης, ὥςτε διὰ τὸ πλῆθος τῶν ἐν αὐτῇ φυομένων καρπῶν τε καὶ τῶν ἄλλων ἀγαθῶν, εὐδαίμονα Ἀραβίαν προςαγορευθῆναι. Κάλαμον μὲν γὰρ καὶ σχοῖνον καὶ τὴν ἄλλην ὕλην τὴν ἀρωματίζουσαν πολλὴν φέρει, καὶ καθόλου παντοδαπὰς φύλλων εὐωδίας· καὶ τῶν ἀποσταζόντων δακρύων ὀσμαῖς ποικίλαις διείληπται.[8] Τήν τε γὰρ σμύρναν, καὶ τὸν προςφιλέστατον τοῖς θεοῖς εἴς τε τὴν οἰκουμένην πᾶσαν διαπόμπιμον λιβανωτὸν αἱ ταύτης ἐσχατιαὶ φέρουσιν. Ἐν δὲ τοῖς ὄρεσιν οὐ μόνον ἐλάτη καὶ πεύκη φύεται δαψιλὴς, ἀλλὰ καὶ κέδρος καὶ ἄρκευθος ἄπλατος, καὶ τὸ καλούμενον βόρατον. Πολλαὶ δὲ καὶ ἄλλαι φύσεις εὐώδεις[11] καρποφοροῦσαι τὰς ἀποῤῥοίας καὶ προςπνεύσεις ἔχουσι τοῖς ἐγγίσασι προςηνεστάτας.*

7. *Μεταλλεύεται δὲ καὶ κατὰ τὴν Ἀραβίαν καὶ ὁ προςαγορευομενος ἄπυρος χρυσὸς, οὐχ ὥςπερ παρὰ τοῖς ἄλλοις ἐκ ψηγμάτων καθεψόμενος, ἀλλ' εὐθὺς ὀρυττόμενος εὑρίσκεται, τὸ μέγεθος[12] καρύοις κασταναϊκοῖς παραπλήσιος, τὴν δὲ χρόαν[12] οὕτως φλογώδης, ὥςτε τοὺς ἐντιμοτάτους λίθους ὑπὸ τῶν τεχνιτῶν ἐνδεθέντας ποιεῖν τὰ κάλλιστα τῶν κοσμημάτων.[13] Θρεμμάτων*

9°. nominative absolute for genitive. See above, p. 157. 1°.—10°. ὄντες understood.—11°. *odorous substances.*—12°. Gram. § 131. 6. p. 265.—13°. The jewellers set precious stones in Arabian gold, to improve their beauty.

δὲ παντοδαπῶν τοσοῦτο κατ' αὐτὴν ὑπάρχει πλῆθος, ὥστε ἔθνη πολλὰ, νομάδα βίον ᾑρημένα, δύνασθαι καλῶς διατρέφεσθαι, σίτου μὲν μὴ προσδεόμενα, τῇ δ' ἀπὸ τούτων δαψιλείᾳ χορηγούμενα.

8. Τὰ δὲ πρὸς δυσμὰς μέρη κεκλιμένα τῆς Ἀραβίας διείληπται[8] πεδίοις ἀμμώδεσι, δι' ὧν οἱ τὰς ὁδοιπορίας ποιούμενοι, καθάπερ οἱ ἐν τοῖς πελάγεσι,[14] πρὸς τὰς ἀπὸ τῶν ἀστέρων σημασίας τὴν διέξοδον ποιοῦνται.[15] Τὸ δ' ὑπολειπόμενον μέρος τῆς Ἀραβίας, τὸ πρὸς τὴν Συρίαν κεκλιμένον, πληθύει γεωργῶν καὶ παντοδαπῶν ἐμπόρων.—Ἡ δὲ παρὰ τὸν ὠκεανὸν Ἀραβία κεῖται μὲν ὑπεράνω τῆς εὐδαίμονος, ποταμοῖς δὲ πολλοῖς καὶ μεγάλοις διειλημμένη[8] πολλοὺς ποιεῖ τόπους λιμνάζοντας. Τοῖς δὲ ἐκ τῶν ποταμῶν ἐπακτοῖς ὕδασι καὶ τοῖς ἐκ τῶν θερινῶν ὄμβρων γιγνομένοις ἀρδεύοντες[16] πολλὴν χώραν, καὶ διπλοῦς καρποὺς λαμβάνουσι. Τρέφει δὲ ὁ τόπος οὗτος ἐλεφάντων ἀγέλας, καὶ ἄλλα ζῶα κητώδη· πρὸς δὲ τούτοις θρεμμάτων παντοδαπῶν πληθύει, καὶ μάλιστα βοῶν καὶ προβάτων, τῶν τὰς μεγάλας καὶ παχείας οὐρὰς ἐχόντων. Πλεῖστα δὲ καὶ διαφορώτατα γένη καμήλων τρέφει, ὧν αἱ μὲν γάλα παρεχόμεναι καὶ κρεοφαγούμεναι, πολλὴν παρέχονται τοῖς ἐγχωρίοις δαψίλειαν· αἱ δὲ πρὸς νωτοφορίαν ἠσκημέναι πυρῶν μὲν ἀνὰ δέκα μεδίμνους νωτοφοροῦσιν, ἀνθρώπους δὲ κατακειμένους ἐπὶ κλίνης πέντε βαστάζουσιν· αἱ δ' ἀνάκωλοι καὶ λαγαραὶ ταῖς συστάσεσι[17] δρομάδες εἰσὶ, καὶ διατείνουσι πλεῖστον ὁδοῦ μῆκος, χρήσιμαι μάλιστα πρὸς τὰς διὰ τῆς ἀνύδρου καὶ ἐρήμου συντελουμένας ὁδοιπορίας. Αἱ δ'

14°. instead of *οἱ πλέοντες*.—15°. To find the paths out of these deserts, it is necessary, as at sea, to observe the stars.—16°. *οἱ ἐγχώριοι* understood.—17°. *those which are shorter and more delicate in their forms.*

αὗται καὶ κατὰ τοὺς πολέμους εἰς τὰς μάχας ἔχουσαι τοξότας ἄγονται δύο, ἀντικαθημένους ἀλλήλοις ἀντινώτους. Τούτων δὲ ὁ μὲν τοὺς κατὰ πρόσωπον ἀπαντῶντας, ὁ δὲ τοὺς ἐπιδιώκοντας ἀμύνεται.

9. *Τῶν ποταμῶν, τοῦ τε Εὐφράτου καὶ τοῦ Τίγρητος, οἳ τὴν μέσην σφῶν Συρίαν ἀπείργουσιν (ὅθεν καὶ τὸ ὄνομα Μεσοποταμία πρὸς τῶν ἐπιχωρίων κληΐζεται*[18]*) ὁ μὲν Τίγρης πολύ τι ταπεινότερος ῥέων τοῦ Εὐφράτου, διώρυχάς τε πολλὰς ἐκ τοῦ Εὐφράτου ἐςδέχεται, καὶ πολλοὺς ἄλλους ποταμοὺς παραλαβὼν, καὶ ἐξ αὐτῶν αὐξηθεὶς ἐςβάλλει ἐς τὸν πόντον τὸν Περσικὸν, μέγας τε καὶ οὐδαμοῦ διαβατὸς ἔς τε ἐπὶ τὴν ἐκβολὴν, καθότι οὐ καταναλίσκεται αὐτοῦ οὐδὲν ἐς τὴν χώραν. Ὁ δὲ Εὐφράτης μετέωρός τε ῥεῖ καὶ ἰσοχείλης πανταχοῦ τῇ γῇ, καὶ διώρυχές τε πολλαὶ ἀπ' αὐτοῦ πεποίηνται, αἱ μὲν ἀένναοι, ἀφ' ὧν ὑδρεύονται οἱ παρ' ἑκάτερα ᾠκισμενοι· τὰς δὲ καὶ πρὸς καιρὸν ποιοῦνται, ὁπότε σφίσιν ὕδατος ἐνδεῶς*[19] *ἔχοι, ἐς τὸ ἐπάρδειν τὴν χώραν (οὐ γὰρ ὕεται τὸ πολὺ ἡ γῆ αὕτη ἐξ οὐρανοῦ) καὶ οὕτως ἐς οὐ πολὺ ὕδωρ ὁ Εὐφράτης τελευτῶν, καὶ τεναγῶδες τοῦτο, οὕτως ἀποπαύεται.*

10. *Ἡ χώρα τῶν Ἰνδῶν ποταμούς ἔχει πολλοὺς καὶ μεγάλους πλωτοὺς, οἳ τάς πηγὰς ἔχοντες ἐν τοῖς ὄρεσι, τοῖς πρὸς τὰς ἄρκτους κεκλιμένοις, φέρονται διὰ τῆς πεδιάδος· ὧν οὐκ ὀλίγοι συμμίσγοντες ἀλλήλοις, ἐμβάλλουσιν εἰς ποταμὸν τὸν ὀνομαζόμενον Γάγγην. Οὗτος δὲ τὸ πλάτος γενόμενος σταδίων τριάκοντα, φέρεται μὲν ἀπὸ τῆς ἄρκτου πρὸς μεσημβρίαν, ἐξερεύ-*

18°. that is, *ἡ χώρα πρὸς τῶν ἐπιχωρίων Μεσοποταμία καλεῖται.* The accusative *ὄνομα* might be omitted, and the sense would be uninjured.—19°. that is, *ὁπότε* (*as often as*) *σφίσιν ὕδατος ἔνδεια γίγνοιτο.* Of the use of the optative where the repetition of an action is expressed, see Gram. § 140. Rem. 5. p. 287.

UNIVERSITY OF CALIFORNIA

γεται δὲ εἰς τὸν Ὠκεανόν. Ὁ δὲ παραπλήσιος τῷ Γάγγῃ ποταμὸς προσαγορευόμενος δὲ Ἰνδὸς, ἄρχεται μὲν ὁμοίως ἀπὸ τῶν ἄρκτων, ἐμβάλλων δὲ εἰς τὸν Ὠκεανὸν, ἀφορίζει τὴν Ἰνδικήν· πολλὴν δὲ διεξιὼν πεδιάδα χώραν, δέχεται ποταμοὺς οὐκ ὀλίγους πλωτοὺς, ἐπιφανεστάτους δὲ Ὕπανιν καὶ Ὑδάσπην καὶ Ἀκεσῖνον. Χωρὶς δὲ τούτων ἄλλο πλῆθος ποταμῶν παντοδαπῶν διαῤῥεῖ, καὶ ποιεῖ κατάῤῥυτον πολλοῖς κηπεύμασι καὶ καρποῖς παντοδαποῖς τὴν χώραν.

11. Ἐκ δὲ τῆς ἀναθυμιάσεως τῶν τοσούτων ποταμῶν, καὶ ἐκ τῶν ἐτησίων βρέχεται τοῖς θερινοῖς ὄμβροις ἡ Ἰνδικὴ, καὶ λιμνάζει τὰ πεδία. Ἐν μὲν οὖν τούτοις τοῖς ὄμβροις λίνον σπείρεται καὶ κέγχρος· πρὸς τούτοις σήσαμον, ὄρυζα, βόσμορον· τοῖς χειμερινοῖς δὲ καιροῖς πυροὶ, κριθαὶ, ὄσπρια καὶ ἄλλοι καρποὶ ἐδώδιμοι, ὧν ἡμεῖς ἄπειροι.—12. Ἔστι δένδρα ἐν τῇ Ἰνδικῇ, ὧν τοῖς κλάδοις ἔρια ὑπανθεῖ, ἐξ ὧν σινδόνες ὑφαίνονται. Ἔςι δὲ καὶ ἄλλα τινὰ δένδρα παρ' αὐτοῖς, ὧν τὰ φύλλα οὐκ ἐλάττω ἀσπίδος ἐστίν· ἄλλα δὲ ἐπὶ δέκα ἢ δώδεκα πήχεις κλάδους αὐξήσαντα, εἶτα τὴν λοιπὴν αὔξησιν κατωφερῆ λαμβάνουσιν,[20] ἕως ἂν ἅψωνται τῆς γῆς· εἶτα πάλιν ῥιζωθέντα αὖθις αὐξάνονται πρὸς τὸ ἄνω· ἐξ οὗ πάλιν ὁμοίως τῇ αὐξήσι κατακαμφθέντα, ἄλλην κατώρυγα ποιοῦσιν,[21] εἶτ' ἄλλην, καὶ οὕτως ἐφεξῆς, ὥστ' ἀφ' ἑνὸς δένδρου σκιάδιον γενέσθαι μακρὸν, πολυστύλῳ σκηνῇ ὅμοιον. Ἔστι δὲ καὶ δένδρα, ὧν τὰ στελέχη καὶ πέντε ἀνθρώποις ἐστὶ δυσπερίληπτα.

13 Ἡ Καρμανία παμφόρος ἐστὶ καὶ μεγαλόδενδρος, καὶ ποταμοῖς κατάῤῥυτος. Τὴν δὲ Γεδρωσίαν ἀκαρπία κατέχει πολλάκις· διὸ φυλάττουσι τὸν ἐνιαύ-

---

20°. that is, εἶτα πρὸς τὸ κάτω νεύοντα.—21°. *they form another layer, or shoot.*

σιον καρπὸν εἰς ἔτη πλείω. Μετὰ δὲ τὴν Καρμανίαν ἡ Περσίς ἐστι, πολλὴ μὲν ἐν τῇ παραλίᾳ[22] τοῦ ἀπ᾽ αὐτῆς ὀνομαζομένου Περσικοῦ κόλπου· πολλῷ δὲ μείζων ἐν τῇ μεσογαίᾳ. Τριπλῆ δ᾽ ἐστὶ καὶ τῇ φύσει, καὶ τῇ τῶν ἀέρων κράσει· ἡ μὲν γὰρ παραλία καυματηρά τε καὶ ἀνεμώδης, καὶ σπανιστὴ καρπῶ ἐστὶ πλὴν φοινίκων. Ἡ δ᾽ ὑπὲρ ταύτης ἐστὶ παμφόρος καὶ πεδινὴ, καὶ θρεμμάτων ἀρίστη τροφὸς ποταμοῖς τε καὶ λίμναις πληθύει. Τρίτη δ᾽ ἐστὶν ἡ πρὸς βοῤῥᾶν χειμέριος καὶ ὀρεινή.

14. Ἡ Περσέπολις μητρόπολις οὖσα τῆς Περσῶν βασιλείας, πλουσιωτάτη ἦν τῶν ὑπὸ τὸν ἥλιον. Οὐκ ἀνοίκειον δ᾽ εἶναι νομίζομεν, περὶ τῶν ἐν ταύτῃ τῇ πόλει βασιλείων, διὰ τὴν πολυτέλειαν τῆς κατασκευῆς, βραχέα διελθεῖν. Οὔσης γὰρ ἄκρας ἀξιολόγου, περιείληφεν αὐτὴν τριπλοῦν τεῖχος, οὗ τὸ μὲν πρῶτον ὕψος εἶχε πηχῶν ἑκκαίδεκα ἐπάλξεσι κεκοσμημένον· τὸ δὲ δεύτερον τὴν μὲν ἄλλην κατασκευὴν ὁμοίαν ἔχει τῷ προειρημένῳ, τὸ δ᾽ ὕψος διπλάσιον. Ὁ δὲ τρίτος περίβολος τῷ σχήματι μέν ἐστι τετράπλευρος, τὸ δὲ τούτου τεῖχος ὕψος ἔχει πηχῶν ἑξήκοντα, λίθῳ σκληρῷ καὶ πρὸς διαμονὴν αἰωνίαν εὖ πεφυκότι κατεσκευασμένον. Ἑκάστη δὲ των πλευρῶν ἔχει πύλας χαλκᾶς. Ἐν δὲ τῷ πρὸς ἀνατολὰς μέρει τῆς ἄκρας τέτταρα πλέθρα διεστηκὸς ὄρος ἐστὶ, τὸ καλούμενον βασιλικὸν, ἐν ᾧ τῶν βασιλέων ὑπῆρχον οἱ τάφοι. Πέτρα γὰρ ἦν κατεξαμμένη[23] καὶ κατὰ μέσον οἴκους ἔχουσα πλείονας, ἐν οἷς σηκοὶ τῶν τετελευτηκότων ὑπῆρχον· πρόςβασιν μὲν οὐδεμίαν ἔχοντες, ὑπ᾽ ὀργάνων δέ τινων χειροποιήτων, ἐξαιρομένων τῶν

22°. that is, ἧς πολὺ μέρος ἐν τῇ παραλίᾳ κεῖται.—23°. καταξαίνω.

νεκρῶν δεχόμενοι τὰς ταφάς.[24] Κατὰ δὲ τὴν ἄκραν ταύτην ἦσαν καταλύσεις βασιλικαὶ πλείους, καὶ θησαυροὶ πρὸς τὴν τῶν χρημάτων παραφυλακὴν εὐθέτως κατεσκευασμένοι. Ταῦτα τὰ βασίλεια ὁ Ἀλέξανδρος ἐνέπρησε, τιμωρῶν τοῖς Ἕλλησιν, ὅτι κἀκείνων ἱερὰ καὶ πόλεις οἱ Πέρσαι πυρὶ καὶ σιδήρῳ διεπόρθησαν.[25].

15. Οἱ Πέρσαι ἀγάλματα καὶ βωμοὺς οὐχ ἱδρύονται· τιμῶσι δὲ ἥλιον, καὶ σελήνην, καὶ πῦρ, καὶ γῆν, καὶ ἀνέμους, καὶ ὕδωρ. Εἰ δέ τις εἰς πῦρ φυσήσειεν ἢ νεκρὸν ἐπιθείη, ἢ ὄνθον, θανατοῦται παρ᾽ αὐτοῖς· ῥιπίζοντες δὲ ἐξάπτουσι τὴν φλόγα.—16. Οἱ τῶν Περσῶν παῖδες εἰς τὰ διδασκαλεῖα φοιτῶντες διάγουσι μανθάνοντες δικαιοσύνην, καὶ λέγουσιν, ὅτι ἐπὶ τοῦτο ἔρχονται, ὥςπερ παρ᾽ ἡμῖν οἱ τὰ γράμματα μαθησόμενοι. Οἱ δὲ ἄρχοντες αὐτῶν διατελοῦσι τὸ πλεῖστον μέρος τῆς ἡμέρας δικάζοντες[26] αὐτοῖς. Γίγνεται γὰρ δὴ καὶ παισὶ πρὸς ἀλλήλους, ὥςπερ ἀνδράσιν, ἐγκλήματα καὶ κλοπῆς, καὶ ἁρπαγῆς, καὶ βίας, καὶ ἀπάτης, καὶ κακολογίας, καὶ ἄλλων, οἵων[27] δὴ εἰκός. Οὓς δ᾽ ἂν γνῶσι τούτων τι ἀδικοῦντας, τιμωροῦνται. Κολάζουσι δὲ καὶ οὓς ἂν ἀδίκως ἐγκαλοῦντας εὑρίσκωσι. Δικάζουσι δὲ καὶ ἐγκλήματος, οὗ ἕνεκα ἄνθρωποι μισοῦσι μὲν ἀλλήλους μάλιστα, δικάζονται δὲ ἥκιστα, ἀχαριστίας, καὶ ὃν ἂν γνῶσι δυνάμενον μὲν χάριν ἀποδιδόναι, μὴ ἀποδιδόντα δὲ, κολάζουσι καὶ τοῦτον ἰσχυρῶς. Οἴονται γὰρ τοὺς ἀχαρίστους καὶ περὶ θεοὺς ἂν μάλιστα ἀμελῶς ἔχειν,[28] καὶ περὶ γονέας, καὶ πατρίδα, καὶ φίλους.

24°. As there was no door-way into the tombs, the bodies of the deceased monarchs in their coffins being raised up by machines on high (ἐξαιρόμενοι,) were let down into the sepulchres prepared for them.—25°. in the second Persian war.—26°. Gram. § 145. Rem. 5. p. 297.—27°. that is, ἄλλων τοιούτων.—28°. instead of τοῖς ἀχαρίστοις θεῶν οὐ μέλειν.

17. *Διδάσκουσι δὲ αὐτοὺς καὶ σωφροσύνην, καὶ πείθεσθαι τοῖς ἄρχουσι, καὶ ἐγκρατεῖς εἶναι γαστρὸς καὶ ποτοῦ. Μέγα δὲ εἰς τοῦτο συμβάλλεται, ὅτι οὐ παρὰ μητρὶ σιτοῦνται οἱ παῖδες, ἀλλὰ παρὰ τῷ διδασκάλῳ, ὅταν οἱ ἄρχοντες σημήνωσι. Φέρονται δὲ οἴκοθεν σῖτον μὲν, ἄρτους, ὄψον δὲ, κάρδαμον· πιεῖν*[29] *δ᾽ ἤν τις διψῇ, κώθωνα, ὡς ἀπὸ τοῦ ποταμοῦ ἀρύσασθαι. Πρὸς δὲ τούτοις μανθάνουσι τοξεύειν καὶ ἀκοντίζειν. Μέχρι μὲν δὴ ἓξ ἢ ἑπτακαίδεκα ἐτῶν ἀπὸ γενεᾶς οἱ παῖδες ταῦτα πράττουσιν· ἐκ τούτου δὲ εἰς τοὺς ἐφήβους ἐξέρχονται.*

III. AFRICA.

1. *Ὁ Νεῖλος, ὃς Αἴγυπτος τὸ παλαιὸν ἐκαλεῖτο, ἀπὸ τῶν Αἰθιοπικῶν τερμόνων ῥεῖ ἐπ᾽ εὐθείας πρὸς ἄρκτους, ἕως τοῦ καλȣμένȣ χωρίȣ Δέλτα, εἶτα σχιζόμενος τριγώνȣ σχῆμα ἀποτελεῖ. Πολλὰ δὲ ϛόματα τοῦ Νείλȣ, ὧν τὰ ἔσχατα, τὸ μὲν ἐν δεξιᾷ Πηλουσιακὸν, τὸ δὲ ἐν ἀριστερᾷ Κανωβικὸν καλεῖται καὶ Ἡρακλειωτικόν· μεταξὺ δὲ τούτων ἄλλαι πέντε εἰσὶν ἐκβολαὶ αἵ γε ἀξιόλογοι, λεπτότεραι δὲ πλείȣς.*—2. *Μέγιστος δ᾽ ὢν τῶν ἁπάντων ποταμῶν καὶ πλείϛην γῆν διεξιὼν, καμπὰς ποιεῖται μεγάλας, ποτὲ μὲν ἐπὶ τὴν ἀνατολὴν καὶ τὴν Ἀραβίαν ἐπιστρέφων, ποτὲ δ᾽ ἐπὶ τὴν δύσιν καὶ τὴν Λιβύην ἐκκλίνων. Φέρεται γὰρ ἀπὸ τῶν Αἰθιοπικῶν ὀρῶν μέχρι τῆς εἰς θάλατταν ἐκβολῆς στάδια μάλιστά πως μύρια καὶ δισχίλια, σὺν αἷς ποιεῖται καμπαῖς.*[1] *Κατὰ δὲ τοὺς ὑποκάτω τόπους συστέλλεται τοῖς ὄγκοις,*[2] *ἀεὶ*

29°. *for drinking.*

1°. that is, *σὺν ταῖς καμπαῖς ἃς ποιεῖται.*—Gram. § 144. 3. p. 293.—2°. for *οἱ αὐτοῦ ὄγκοι συστέλλονται.*

μᾶλλον ἀποσπωμένου τοῦ ῥεύματος ἐπ' ἀμφοτέρας τὰς ἠπείρους. Τῶν δ' ἀποσχιζομένων μερῶν, τὸ μὲν εἰς τὴν Λιβύην ἐκκλῖνον ὑπ' ἄμμου καταπίνεται, τὸ βάθος ἐχούσης ἄπιστον· τὸ δ' εἰς τὴν Ἀραβίαν ἐναντίως εἰσχεόμενον, εἰς τέλματα παμμεγέθη καὶ λίμνας ἐκτρέπεται μεγάλας καὶ περιοικουμένας γένεσι πολλοῖς.

3. Ἐν ταῖς ἀναβάσεσι τοῦ Νείλου, πᾶσα ἡ χώρα καλύπτεται, καὶ πελαγίζει, πλὴν τῶν οἰκήσεων· αὗται δ' ἐπὶ λόφων αὐτοφυῶν ἢ χωμάτων ἵδρυνται, πόλεις τε ἀξιόλογοι καὶ κῶμαι, νησίζουσαι κατὰ τὴν πόῤῥωθεν ὄψιν. Πλείους δ' ἢ τετταράκοντα ἡμέρας τοῦ θέρους[3] διαμεῖναν τὸ ὕδωρ, ἔπειθ' ὑπόβασιν λαμβάνει κατ' ὀλίγον, καθάπερ καὶ τὴν αὔξησιν ἔσχεν· ἐν ἑξήκοντα δὲ ἡμέραις τελέως γυμνοῦται τὸ πεδίον. Πληροῦται δὲ ὁ Νεῖλος ὑπὸ τῶν ὄμβρων τῶν θερινῶν, τῆς Αἰθιοπίας τῆς ἄνω κλυζομένης καὶ μάλιστα ἐν τοῖς ἐσχάτοις ὄρεσι· παυσαμένων δὲ τῶν ὄμβρων παύεται κατ' ὀλίγον καὶ ἡ πλημμυρίς.

4. Φασὶν οἱ Αἰγύπτιοι, κατὰ τὴν ἐξ ἀρχῆς τῶν ὅλων γένεσιν πρώτους ἀνθρώπους γενέσθαι κατὰ τὴν Αἴγυπτον, διά τε τὴν εὐκρασίαν τῆς χώρας, καὶ διὰ τὴν φύσιν τοῦ Νείλου. Τοῦτον γὰρ πολύγονον ὄντα, καὶ τὰς τροφὰς αὐταφυεῖς παρεχόμενον, ῥᾳδίως ἐκτρέφειν τὰ ζωογονηθέντα. Τῆς δ' ἐξ ἀρχῆς παρ' αὐτοῖς ζωογονίας τεκμήριον πειρῶνται φέρειν, τὸ καὶ νῦν ἔτι τὴν ἐν τῇ Θηβαΐδι χώραν κατά τινας καιροὺς τοσούτους καὶ τηλικούτους μῦς γεννᾷν,[4] ὥστε τοὺς ἰδόντας τὸ γενόμενον ἐκπλήττεσθαι. Ἐνίους γὰρ αὐτῶν ἕως μὲν τοῦ στήθους καὶ τῶν ἐμπροσθίων ποδῶν διατετυπῶσθαι, καὶ

3°. Gram. § 132. 3. b). (2). p. 267.—4°. that is, ὅτι καὶ νῦν ἔτι ἡ ἐν τῇ Θηβαΐδι χώρα....μῦς γεννᾷ.

κίνησιν λαμβάνειν, τὸ δὲ λοιπὸν τοῦ σώματος ἔχειν ἀδιατύπωτον, μενούσης ἔτι κατὰ φύσιν τῆς βώλου.

5. *Τετταράκοντα ἀπὸ τῆς Μέμφιδος σταδίους προελθόντι,*[5] *ὀρεινή τις ὀφρύς ἐστι, ἐφ' ᾗ πολλαὶ μὲν πυραμίδες εἰσὶ, τάφοι τῶν βασιλέων· τρεῖς δ' ἀξιόλογοι· τὰς δὲ δύο τούτων καὶ ἐν τοῖς ἑπτὰ θεάμασι καταριθμοῦνται.—Ἐν Ἀρσινόῃ πόλει, ἣ πρότερον κροκοδείλων πόλις ἐκαλεῖτο, χειροήθης ἱερὸς κροκόδειλος ἐτρέφετο. Ἐν δὲ Ἡρακλέους πόλει ὁ ἰχνεύμων τιμᾶται, ἐχθρὸς ὢν κροκοδείλοις καὶ ἀσπίσιν. Ἐν τῷ Κυνοπολίτῃ νομῷ καὶ τῇ Κυνῶν πόλει ὁ Ἄνουβις τιμᾶται, καὶ τοῖς κυσὶ τιμὴ καὶ σίτισις τέτακταί τις ἱερά. Τινὰ μὲν γὰρ τῶν ζώων ἅπαντες κοινῇ τιμῶσιν Αἰγύπτιοι, καθάπερ βοῦν, κύνα, αἴλουρον, ἱέρακα, καὶ ἶβιν· ἄλλα δ' ἔστιν ἃ τιμῶσι καθ' ἑαυτοὺς ἕκαστοι.*

6. *Τὰς Θήβας Ὅμηρος ἑκατομπύλους καλεῖ, καὶ πλεῖστα ἐκεῖ κτήματα κεῖσθαι λέγει. Καὶ νῦν δείκνυται ἴχνη τοῦ μεγέθους αὐτῆς*[6] *ἐπὶ ὀγδοήκοντα σταδίους τὸ μῆκος· ἔστι δ' ἱερὰ πλείω. Καὶ τούτων δὲ τὰ πολλὰ ἠκρωτηρίασε Καμβύσης· νυνὶ δὲ κωμηδὸν συνοικεῖται. Ἐν τῇ περαίᾳ*[7] *ἐστὶ τὸ Μεμνόνιον. Ἐνταῦθα δὲ δυοῖν κολοσσῶν ὄντων μονολίθων ἀλλήλων πλησίον, ὁ μὲν σώζεται, τοῦ δὲ ἑτέρου τὰ ἄνω μέρη, τὰ ἀπὸ τῆς καθέδρας,*[8] *πέπτωκε σεισμοῦ γενηθέντος, ὥς φασι. Πεπίστευται δ' ὅτι ἅπαξ καθ' ἡμέραν ἑκάστην ψόφος, ὡς ἂν πληγῆς οὐ μεγάλης, ἀποτελεῖται ἀπὸ τοῦ μένοντος ἐν τῷ θρόνῳ καὶ τῇ βάσει μέρους. Ὑπὲρ δὲ τοῦ Μεμνονίου θῆκαι βασιλέων ἐν σπηλαίοις λατομηταὶ*

5°. *προελθόντι* is connected with *ἐστί*.—6°. *αὐτῆς* is used as if *πόλις* had preceded, which is included virtually in *Θήβας*.—7°. on the other side of the Nile.—8°. the part from the seat upward.

περὶ τετταράκοντα, θαυμαστῶς κατεσκευασμένα, θέας ἄξιαι.

7. Περὶ τὰς ἐσχατιὰς τῆς Αἰγύπτου καὶ τῆς ὁμορούσης Ἀραβίας τε καὶ Αἰθιοπίας τόπος ἐστὶν ἔχων μέταλλα πολλὰ καὶ μεγάλα χρυσοῦ, συναγομένου πολλῇ κακοπαθείᾳ τε καὶ δαπάνῃ. Τῆς γὰρ γῆς μελαίνης οὔσης τῇ φύσει, καὶ διαφυὰς καὶ φλέβας ἐχούσης μαρμάρου, τῇ λευκότητι διαφερούσας, καὶ πάσας τὰς περιλαμπομένας φύσεις ὑπερβαλλούσας τῇ λαμπρότητι, οἱ προσεδρεύοντες τοῖς μεταλλικοῖς ἔργοις τῷ πλήθει τῶν ἐργαζομένων κατασκευάζουσι τὸν χρυσόν. Οἱ γὰρ βασιλεῖς τῆς Αἰγύπτου τοὺς ἐπὶ κακουργίᾳ καταδικασθέντας, καὶ τοὺς κατὰ πόλεμον αἰχμαλωτισθέντας, ἔτι δὲ τοὺς ἀδίκοις διαβολαῖς περιπεσόντας, καὶ διὰ θυμὸν εἰς φυλακὰς παραδεδομένους, ποτὲ μὲν αὐτούς,[9] ποτὲ δὲ καὶ μετὰ πάσης συγγενείας ἀθροίσαντες, παραδιδόασι πρὸς τὴν τοῦ χρυσοῦ μεταλλείαν. Οἱ δὲ παραδοθέντες, πολλοὶ μὲν τὸ πλῆθος ὄντες, πάντες δὲ πέδαις δεδεμένοι, προσκαρτεροῦσι τοῖς ἔργοις συνεχῶς, καὶ μεθ' ἡμέραν καὶ δι' ὅλης τῆς νυκτός, ἀνάπαυσιν μὲν οὐδεμίαν λαμβάνοντες, δρασμοῦ δὲ παντὸς φιλοτίμως εἰργόμενοι. Τῆς δὲ τὸν χρυσὸν ἐχούσης γῆς τὴν μὲν σκληροτάτην πυρὶ πολλῷ καύσαντες[10] καὶ ποιήσαντες χαύνην, προσάγουσι τὴν διὰ τῶν χειρῶν κατεργασίαν· τὴν δὲ ἀνειμένην πέτραν καὶ μετρίῳ πόνῳ δυναμένην ὑπείκειν λατομικῷ σιδήρῳ καταπονοῦσι μυριάδες ἀκληρούντων ἀνθρώπων. Καὶ τῆς μὲν ὅλης πραγματείας ὁ τὸν λίθον διακρίνων τεχνίτης καθηγεῖται, καὶ τοῖς ἐργαζομένοις

9°. for μόνους.—10°. The vein of rock containing the gold is made brittle and softened, by kindling fires against it.

ἀποδείκνυσι· τῶν δὲ πρὸς τὴν ἀτυχίαν ταύτην ἀποδειχθέντων, οἱ μὲν σώματος ῥώμῃ διαφέροντες τυπίσι σιδηραῖς τὴν μαρμαρίζουσαν[11] πέτραν κόπτουσιν, οὐ τέχνην τοῖς ἔργοις, ἀλλὰ βίαν προσάγοντες.[12] Καὶ οὗτοι μὲν τὰ λατομούμενα θραύσματα εἰς ἔδαφος καταβάλλουσι, καὶ τοῦτο ἀδιαλείπτως ἐνεργοῦσι πρὸς ἐπιστάτου βαρύτητα καὶ πληγάς. Οἱ δὲ ἄνηβοι παῖδες εἰσδυόμενοι διὰ τῶν ὑπονόμων εἰς τὰ κεκοιλωμένα τῆς πέτρας, ἀναβάλλουσιν ἐπιπόνως τὴν ῥιπτουμένην κατὰ μικρὸν πέτραν, καὶ πρὸς τὸν ἐκτὸς τοῦ στομίου τόπον εἰς ὕπαιθρον ἀποκομίζουσιν. Οἱ δὲ ὑπὲρ ἔτη τριάκοντα παρὰ τούτων λαμβάνοντες ὡρισμένον μέτρον τοῦ λατομήματος, ἐν ὅλμοις λιθίνοις τύπτουσι σιδηροῖς ὑπέροις, ἄχρις ἂν ὀρόβου τὸ μέγεθος κατεργάσωνται. Παρὰ δὲ τούτων τὸν ὀροβίτην λίθον αἱ γυναῖκες καὶ οἱ πρεσβύτεροι τῶν ἀνδρῶν ἐκδέχονται, καὶ μύλων ἑξῆς πλειόνων ὄντων,[13] ἐπὶ τούτους ἐπιβάλλουσι, καὶ παραστάντες ἀνὰ τρεῖς ἢ δύο πρὸς τὴν κώπην ἀλήθουσιν ἐς σεμιδάλεως τρόπον τὸ δοθὲν μέτρον κατεργαζόμενοι. Τὸ δὲ τελευταῖον οἱ τεχνῖται παραλαβόντες τὸν ἀληλεσμένον λίθον, πρὸς τὴν ὅλην ἄγουσι συντέλειαν. Ἐπὶ γὰρ πλατείας σανίδος μικρὸν ἐγκεκλιμένης τρίβουσι τὴν κατειργασμένην μάρμαρον, ὕδωρ ἐπιχέοντες. Εἶτα τὸ μὲν γεῶδες αὐτῆς ἐκτηκόμενον διὰ τῶν ὑγρῶν καταρρεῖ κατὰ τὴν τῆς σανίδος ἔγκλισιν, τὸ δὲ χρυσίον ἔχον[14] ἐπὶ τοῦ ξύλου παραμένει διὰ τὸ βάρος. Πολλάκις δὲ τοῦτο ποιοῦντες, τὸ μὲν πρῶτον ταῖς χερσὶν ἐλαφρῶς τρίβουσι, μετὰ δὲ ταῦτα σπόγγοις ἀραιοῖς κούφως ἐπιθλίβοντες, τὸ χαῦνον

11°. The ore in these mines had a lustre like marble.—12°. that is *οὐ τέχνῃ τινί, ἀλλὰ βίᾳ μόνον χρώμενοι.*—13°. The pounded ore was placed in a series of hand-mills, and in them more finely reduced.—14°. *that which contains gold.*

καὶ γεῶδες διὰ τούτων ἀναλαμβάνουσι, μέχρις ἂν ὅτου καθαρὸν γένηται τὸ ψῆγμα τοῦ χρυσοῦ. Τὸ δὲ τελευταῖον ἄλλοι τεχνῖται παραλαμβάνοντες μέτρῳ καὶ σταθμῷ τὸ συνηγμένον, εἰς κεραμέους χύτρους ἐμβάλλουσι. Μίξαντες δὲ κατὰ τὸ πλῆθος ἀνάλογον μολίβδου βῶλον καὶ χόνδρους ἁλῶν, ἔτι δὲ βραχὺ κασσιτέρου, καὶ κρίθινον πίτυρον προσεμβάλλουσιν. Ἁρμοστὸν δ᾽ ἐπίθεμα ποιήσαντες, καὶ πηλῷ φιλοπόνως περιχρίσαντες, ὀπτῶσιν ἐν καμίνῳ πέντε ἡμέρας καὶ νύκτας ἀδιαλείπτως. Ἔπειτα ἐάσαντες ψυγῆναι, τῶν μὲν ἄλλων[15] οὐδὲν εὑρίσκουσιν ἐν τοῖς ἀγγείοις, τὸν δὲ χρυσὸν καθαρὸν λαμβάνουσιν, ὀλίγης ἀπουσίας γεγενημένης. Ἡ μὲν οὖν τῶν μετάλλων τούτων εὕρεσις ἀρχαία παντελῶς ἐστὶν, ὡς ἂν ὑπὸ τῶν παλαιῶν βασιλέων καταδειχθεῖσα.

8. Ὁ Ἀλέξανδρος κρίνας ἐν Αἰγύπτῳ πόλιν μεγάλην κτίσαι, προσέταξε τοῖς ἐπὶ τὴν ἐπιμέλειαν ταύτην καταλειπομένοις, ἀνὰ μέσον τῆς τε λίμνης καὶ τῆς θαλάσσης οἰκίσαι τὴν πόλιν. Διαμετρήσας δὲ τὸν τόπον, καὶ ῥυμοτομήσας φιλοτέχνως τὴν πόλιν, ἀφ᾽ ἑαυτοῦ προσηγόρευσεν Ἀλεξάνδρειαν, εὐκαιρότατα μὲν κειμένην πλησίον τοῦ Φάρου λιμένος, εὐστοχίᾳ δὲ τῆς ῥυμοτομίας ποιήσας διαπνεῖσθαι τὴν πόλιν ἐτησίοις ἀνέμοις. Καὶ τούτων πνεόντων μὲν διὰ τοῦ μεγίστου πελάγους, καταψυχόντων δὲ τὸν κατὰ τὴν πόλιν ἀέρα, πολλὴν τοῖς κατοικοῦσιν εὐκρασίαν καὶ ὑγίειαν κατεσκεύασε. Καὶ τὸν μὲν περίβολον αὐτῆς ὑπεστήσατο τῷ τε μεγέθει διαφέροντα καὶ κατὰ τὴν ὀχυρότητα θαυμάσιον. Ἀνὰ μέσον γὰρ ὢν[16] μεγάλης λίμνης[17] καὶ

15°. of the other substances thrown in as a flux, to promote the fusion of the metal.—16°. that is, ὁ περίβολος.—17°. the lake Mareotis.

τῆς θαλάττης, δύο μόνον ἀπὸ τῆς γῆς ὁδοὺς στενὰς ἔχει καὶ παντελῶς εὐφυλάκτους. Τὸν δὲ τύπον τῆς πόλεως ἀποτελῶν χλαμύδι παραπλήσιον, ἦγε πλατεῖαν μέσην σχεδὸν τὴν πόλιν τέμνουσαν, καὶ τῷ τε μεγέθει καὶ πλάτει θαυμαστήν. Ἀπὸ γὰρ πύλης ἐπὶ πύλην διήκουσα, τεσσαράκοντα μὲν σταδίων ἔχει τὸ μῆκος, πλέθρου δὲ τὸ πλάτος, οἰκιῶν δὲ καὶ ἱερῶν πολυτελέσι κατασκευαῖς πᾶσα κεκόσμηται. Προσέταξε δ' ὁ Ἀλέξανδρος καὶ βασίλεια κατασκευάσαι θαυμαστὰ κατὰ τό μέγεθος καὶ βάρος τῶν ἔργων. Οὐ μόνον δ' ὁ Ἀλέξανδρος, ἀλλὰ καὶ οἱ μετ' αὐτὸν βασιλεύσαντες Αἰγύπτου σχεδὸν ἅπαντες πολυτελέσι κατασκευαῖς ηὔξησαν αὐτὰ τὰ βασίλεια. Καθόλου δὲ ἡ πόλις τοσαύτην ἐπίδοσιν ἔλαβεν ἐν τοῖς ὕστερον χρόνοις, ὥστε παρὰ πολλοῖς αὐτὴν πρώτην ἀριθμεῖσθαι τῶν κατὰ τὴν οἰκουμένην.[18] Καὶ γὰρ κάλλει, καὶ μεγέθει, καὶ προσόδων πλήθει καὶ τῶν πρὸς τροφὴν ἀνηκόντων πολὺ διαφέρει τῶν ἄλλων. Τὸ δὲ τῶν κατοικούντων οἰκητόρων αὐτὴν πλῆθος ὑπερβάλλει τοὺς ἐν ταῖς ἄλλαις πόλεσιν οἰκήτορας.

9. Οἱ Αἰθίοπες κακόβιοί τε καὶ γυμνῆτές εἰσι τὰ πολλὰ, καὶ νομάδες· τὰ δὲ βοσκήματα αὐτοῖς ἐστὶ μικρὰ πρόβατα καὶ αἶγες καὶ βόες καὶ κύνες μικροί. Ζῶσι δ' ἀπὸ κέγχρου, καὶ κριθῆς, ἀφ' ὧν καὶ ποτὸν ποιοῦσιν αὐτοῖς. Οὐδ' ἀκρόδρυα ἔχουσι πλὴν φοινίκων ὀλίγων ἐν κήποις βασιλικοῖς· ἔνιοι δὲ καὶ πόαν σιτοῦνται, καὶ υλῶνας ἁπαλοὺς, καὶ λωτὸν, καὶ καλάμου ῥίζαν. Κρέασι δὲ χρῶνται, ναὶ αἵματι, καὶ γάλακτι, καὶ τυρῷ. —10. Οἱ Αἰθίοπες χρῶνται τόξοις τετραπήχεσι ξυλίνοις, πεπυρακτωμένοις. Ὁπλίζουσι δὲ καὶ τὰς γυναῖκας,

18°. πόλεων understood.

ὧν αἱ πλείους κεκρίκωνται τὸ χεῖλος τοῦ στόματος χαλκῷ κρίκῳ· κωδιοφόροι δ' εἰσὶν, ἐρέαν οὐκ ἔχοντες, τῶν προβάτων αἰγοτριχούντων· οἱ δὲ γυμνῆταί εἰσιν, ἢ καὶ περιέζωνται μικρὰ κώδια ἢ τρίχινα πλέγματα εὐϋφῆ. Θεὸν δὲ νομίζουσι, τὸν μὲν ἀθάνατον, τοῦτον δ' εἶναι τὸν αἴτιον τῶν πάντων, τὸν δὲ θνητὸν, ἀνώνυμόν τινα καὶ οὐ σαφῆ· ὡς δ' ἐπιτοπολὺ τοὺς εὐεργέτας καὶ τοὺς βασιλέας θεοὺς νομίζουσι. Τοὺς δὲ νεκροὺς οἱ μὲν εἰς τὸν ποταμὸν ἐκρίπτουσιν, οἱ δ' οἴκοι κατέχουσι περιχέαντες ὕαλον, τινὲς δὲ ἐν κεραμίαις σοροῖς κατορύττουσι κύκλῳ τῶν ἱερῶν. Βασιλέας καθιστᾶσι τοὺς κάλλει διαφέροντας, ἢ ἀρετῇ κτηνοτροφίας ἢ ἀνδρείας ἢ πλούτου.

11. Τούτων διευκρινημένων, οἰκεῖον ἂν εἴη διελθεῖν περὶ τῶν Λιβύων τῶν πλησίον Αἰγύπτου κατοικούντων καὶ τῆς ὁμόρου χώρας. Τὰ γὰρ περὶ Κυρήνην καὶ τὰς Σύρτεις, ἔτι δὲ τὴν μεσόγειον τῆς κατὰ τοὺς τόπους τούτους χέρσου, κατοικεῖ τέτταρα γένη Λιβύων· ὧν οἱ μὲν ὀνομαζόμενοι Νασαμῶνες νέμονται τὰ νεύοντα μέρη πρὸς νότον, οἱ δ' Αὐχῖσαι τὰ πρὸς τὴν δύσιν· οἱ δὲ Μαρμαρίδαι κατοικοῦσι τὴν μεταξὺ ταινίαν Αἰγύπτου καὶ Κυρήνης, μετέχοντες καὶ τῆς παραλίας· οἱ δὲ Μάκαι πολυανθρωπίᾳ τῶν ὁμοεθνῶν προέχοντες, νέμονται τοὺς τόπους τοὺς περὶ τὴν Σύρτιν. Τῶν δὲ προειρημένων Λιβύων γεωργοὶ μέν εἰσιν, οἷς ὑπάρχει χώρα δυναμένη καρπὸν φέρειν δαψιλῆ, νομάδες δ', ὅσοι τῶν κτηνῶν τὴν ἐπιμέλειαν ποιούμενοι, τὰς τροφὰς ἔχουσιν ἀπὸ τούτων. Ἀμφότερα δὲ τὰ γένη ταῦτα βασιλέας ἔχει, καὶ βίον οὐ παντελῶς ἄγριον, οὐδ' ἀνθρωπίνης ἡμερότητος ἐξηλλαγμένον. Τὸ δὲ τρίτον γένος οὔτε βασιλέως ὑπακοῦον, οὔτε τοῦ δικαίου λόγον οὐδ' ἔννοιαν ἔχον, ἀεὶ λῃστεύει· ἀπροσδοκήτως δὲ τὰς ἐμβολὰς

ἐκ τῆς ἐρήμου ποιούμενον, ἁρπάζει τὰ παρατυχόντα, καὶ ταχέως ἀνακάμπτει πρὸς τὸν αὐτὸν τόπον. Πάντες δ' οἱ Λίβυες οὗτοι θηριώδη βίον ἔχουσιν, ὑπαίθριοι διαμένοντες, καὶ τὸ τῶν ἐπιτηδευμάτων ἄγριον[19] *ἐζηλωκότες· οὔτε γὰρ ἡμέρου διαίτης, οὔτ' ἐσθῆτος μετέχουσιν, ἀλλὰ δοραῖς αἰγῶν σκεπάζουσι τὰ σώματα. Ὁ δ' ὁπλισμὸς αὐτῶν ἐστὶν οἰκεῖος τῆς τε χώρας καὶ τῶν ἐπιτηδευμάτων. Κοῦφοι γὰρ ὄντες τοῖς σώμασι, καὶ χώραν οἰκοῦντες κατὰ τὸ πλεῖστον πεδιάδα, πρὸς τοὺς κινδύνους ὁρμῶσι λόγχας ἔχοντες τρεῖς καὶ λίθους ἐν ἄγγεσι σκυτίνοις· ξίφος δ' οὐ φοροῦσιν, οὐδὲ κράνος, οὐδ' ὅπλον οὐδὲν ἕτερον, στοχαζόμενοι τοῦ προτερεῖν ταῖς εὐκινησίαις ἐν τοῖς διωγμοῖς, καὶ πάλιν ἐν ταῖς ἀποχωρήσεσι. Διόπερ εὐθετώτατοι πρὸς δρόμον εἰσὶ καὶ λιθοβολίαν, διαπεπονηκότες τῇ μελέτῃ καὶ τῇ συνηθείᾳ τὰ τῆς φύσεως προτερήματα. Καθόλου δὲ πρὸς τοὺς ἀλλοφύλους οὔτε τὸ δίκαιον οὔτε τὴν πίστιν κατὰ οὐδένα τρόπον διατηροῦσιν.*

12. *Τῆς δὲ χώρας ἡ μὲν ὅμορος τῇ Κυρήνῃ γεώδης ἐστὶ καὶ πολλοὺς φέρουσα καρπούς. Οὐ μόνον γὰρ ὑπάρχει σιτοφόρος, ἀλλὰ καὶ πολλὴν ἄμπελον, ἔτι δ' ἐλαίαν ἔχει, καὶ τὴν ἀγρίαν ὕλην, καὶ ποταμοὺς εὐχρηστίαν παρεχομένους· ἡ δ' ὑπὲρ τὸ νότιον μέρος ὑπερτείνουσα, ἄσπορος οὖσα καὶ σπανίζουσα ναματιαίων ὑδάτων, τὴν πρόσοψιν ἔχει πελάγει παρεμφερῆ, οὐδεμίαν δὲ παρεχομένη ποικιλίαν, ἐρήμῳ γῇ περιέχεται. Διόπερ οὐδ' ὄρνεον ἰδεῖν ἔστιν, οὐ τετράπουν ἐν αὐτῇ ζῶον, πλὴν δορκάδος καὶ βοός· οὐ μὴν οὔτε φυτὸν, οὔτ' ἄλλο τῶν δυναμένων ψυχαγωγῆσαι τὴν ὅρασιν, ὡς ἂν τῆς εἰς μεσόγειον ἀνηκούσης γῆς ἐχούσης ἐπὶ τὸ μῆκος*

19°. that is, *ἄγρια ἐπιτηδεύματα.*

ἀθρόους θῖνας.[20] Ἐφʼ ὅσον[21] δὲ σπανίζει τῶν πρὸς ἥμερον βίον ἀνηκόντων, ἐπὶ τοσοῦτον[21] πληθύει παντοίων ταῖς ἰδέαις καὶ τοῖς μεγέθεσιν ὄφεων, μάλιϛα δὲ τῶν τοιουτῶν, οὓς προσαγορεύουσι κεράστας· οἳ τὰ μὲν δήγματα θανατηφόρα ποιοῦνται, τὴν δὲ χρόαν ἄμμῳ παραπλησίαν ἔχουσι. Διόπερ ἐξωμοιωμένων αὐτῶν κατὰ τὴν πρόσοψιν τοῖς ὑποκειμένοις ἐδάφεσιν, ὀλίγοι μὲν ἐπιγιγνώσκουσιν,[22] οἱ πολλοὶ δʼ ἀγνοοῦντες πατοῦσι, καὶ κινδύνοις περιπίπτουσιν ἀπροσδοκήτοις.

13. Ἡ Καρχηδὼν ἐπὶ χεῤῥονήσου τινὸς ἵδρυται, ἐπιγραφούσης[23] κύκλον τριακοσίων ἑξήκοντα σταδίων ἔχοντα τεῖχος.[24] Κατὰ μέσην δὲ τὴν πόλιν ἡ ἀκρόπολις, ἣν ἐκάλουν Βύρσαν, ὀφρὺς ἱκανῶς ὀρθία, κύκλῳ περιοικουμένη, κατὰ δὲ τὴν κορυφὴν ἔχουσα Ἀσκληπιεῖον, ὅπερ κατὰ τὴν ἅλωσιν τῆς πόλεως ἡ γυνὴ τοῦ Ἀσδρούβα συνέπρησε αὐτῇ. Ὑπόκειται δὲ τῇ ἀκροπόλει οἵτε τε λιμένες καὶ ὁ Κώθων, νησίον περιφερὲς Εὐρίπῳ περιεχόμενον, ἔχον τε νεωσοίκους ἑκατέρωθεν κύκλῳ. Κτίσμα δʼ ἐϛὶ Διδοῦς, ἀγαγούσης ἐκ Τύρε λαόν· ουτω δʼ εὐτυχὴς ἡ ἀποικία τοῖς Φοίνιξιν ὑπῆρξε καὶ αὕτη, καὶ ἡ μέχρι τῆς Ἰβηρίας τῆς τε ἄλλης καὶ τῆς ἔξω στηλῶν,[25] ὥϛτε καὶ τῆς Εὐρώπης τὴν ἀρίστην ἐνείμαντο οἱ Φοίνικες κατὰ τὴν ἤπειρον, καὶ τὰς προσεχεῖς νήσους· τήν τε Λιβύην κατεκτήσαντο πᾶσαν, ὅσην μὴ νομαδικῶς οἷόν τʼ ἦν οἰκεῖν.[26] Ἀφʼ ἧς δυνάμεως

20°. *the whole region extending inward presents to the eye a continued serie of sand hills.*—21°. *quantum.....tantum.*—22°. αὐτοὺς understood.—23° that is, ἐχούσης.—24°. that is, τετειχισμένον.—25°. *the colonies founded by the Phœnicians in Spain, not only on the Mediterranean, but* on the Atlantic *without the pillars of Hercules.*—26°. *that part of Lybia which admitted any other than the wandering mode of life ;* οἷόν τʼ ἦν for ἐξῆν. See Gram. § 151. οἷός τε, p. 313.

πόλιν τε ἀντίπαλον τῇ Ῥώμῃ κατεσκευάσαντο, καὶ τρεῖς ἐπολέμησαν πρὸς αὐτοὺς[27] *μεγάλους πολέμους.*

14. *Γένοιτο δ' ἂν εὔδηλος ἡ δύναμις αὐτῶν*[28] *ἐκ τοῦ ὑστάτȣ πολέμȣ, ἐν ᾧ κατελύθησαν ὑπὸ Σκηπίωνος τοῦ Αἰμιλιανοῦ, καὶ ἡ πόλις ἄρδην ἠφανίσθη. Ὅτε γὰρ ἤρξαντο πολεμεῖν, πόλεις μὲν εἶχον τριακοσίας ἐν τῇ Λιβύῃ, ἀνθρώπων δ' ἐν τῇ πόλει*[29] *μυριάδας ἑβδομήκοντα· πολιορκούμενοι δὲ καὶ ἀναγκασθέντες τραπέσθαι πρὸς ἔνδοσιν, πανοπλιῶν μὲν ἔδοσαν μυριάδας εἴκοσι, καταπελτικὰ δὲ ὄργανα τρισχίλια, ὡς οὐ πολεμηθησόμενοι.*[30] *Κριθέντος δὲ πάλιν τοῦ ἀναπολεμεῖν,*[31] *ἐξαίφνης ὁπλοποιΐαν συνεστήσαντο, καὶ ἑκάστης ἡμέρας ἀνεφέροντο θυρεοί μὲν ἑκατὸν καὶ τετταράκοντα πεπηγότες· μάχαιραι δὲ τριακόσιαι, καὶ λόγχαι πεντακόσιαι, χίλια δὲ βέλη καταπελτικά· τρίχα*[32] *δὲ τοῖς καταπέλταις αἱ θεράπαιναι παρεῖχον. Ἔτι τοίνυν ναῦς ἔχοντες δώδεκα, τότε, καίπερ ἤδη συμπεφευγότες ἐς τὴν Βύρσαν, ἐν διμήνῳ κατεσκευάσαντο ναῦς εἴκοσι καὶ ἑκατὸν καταφράκτους, καὶ τοῦ στόματος τȣ̃ Κώθωνος φρουρουμένου, διώρυξαν ἄλλο στόμα, καὶ προῆλθεν αἰφνιδίως ὁ στόλος· ὕλη γὰρ ἦν ἀποκειμένη παλαιά, καὶ τεχνιτῶν πλῆθος προσεδρεῦον καὶ σιταρκούμενον δημοσίᾳ. Τοιαύτη δ' ȣ̃σα Καρχηδὼν, ὅμως ἑάλω*[33] *καὶ κατεσκάφη.*

27°. that is, *τοὺς Ῥωμαίους* contained in *Ῥώμη*.—28°. viz. *τῶν Καρχηδονίων*.—29°. *in the capital.*—30°. *in the hope of escaping a war.*—31°. that is, *ὑπὸ τῶν Καρχηδονίων*.—32°. for the manufacture of the ropes.—33°. *ἁλίσκω*.

HISTORY AND BIOGRAPHY.

I.

SOLON.

Solon procures the Athenians the Possession of Salamis.

Ἐπεὶ μακρόν τινα καὶ δυςχερῆ πόλεμον οἱ ἐν ἄστει[1] περὶ τῆς Σαλαμινίων νήσου Μεγαρεῦσι πολεμοῦντες[2] ἐξέκαμον,[3] καὶ νόμον ἔθεντο, μήτε γράψαι[4] τινὰ, μήτ' εἰπεῖν[4] αὖθις, ὡς χρὴ τὴν πόλιν ἀντιποιεῖσθαι τῆς Σαλαμῖνος, ἢ θανάτῳ ζημιοῦσθαι, βαρέως φέρων τὴν ἀδοξίαν ὁ Σόλων, καὶ τῶν νέων ὁρῶν πολλοὺς δεομένυς ἀρχῆς[5] ἐπὶ τὸν πόλεμον, αὐτοὺς δὲ μὴ θαῤῥοῦντας ἄρξασθαι διὰ τὸν νόμον, ἐσκήψατο μὲν ἔκστασιν τῶν λογισμῶν, καὶ λόγος εἰς τὴν πόλιν ἐκ τῆς οἰκίας διεδόθη παρακινητικῶς ἔχειν[6] αὐτόν. Ἐλεγεῖα δὲ κρύφα συνθεὶς, καὶ μελετήσας ὥςτε λέγειν ἀπὸ στοματος,[7] ἐξεπήδησεν εἰς τὴν ἀγορὰν ἄφνω πιλίον περιθέμενος.[8]

1°. *the city* of Athens, which is always understood by ἄστυ, in speaking of the concerns of Attica.—2°. πόλεμον πολεμοῦντες. See Gram. § 131. 3. p. 264.—3°. πολεμοῦντες ἐξέκαμον, a stronger expression than ἐξετέλεσαν · *fought through.*—4°. γράψαι and εἶπειν evpress the one a *written proposal*, the other a verbal recommendation of a law.—5°. Equivalent to προφάσεως, *pretence, occasion.*—6°. See Gram. § 151. p. 315. παρακινητικῶς ἔχειν is equivalent to παρακινεῖν in its neuter signification, *to be insane.*—7°. *by heart.*—8°. as if he had just arrived from a journey, for on a journey only the Greeks wore caps. For the accusative here governed by περιθέμενος, See Gram. § 135. 4. p. 274.

῎Οχλου δὲ πολλοῦ συνδραμόντος, ἀναβὰς ἐπὶ τὸν τοῦ κήρυκος λίθον,[9] ἐν ᾠδῇ[10] διεξῆλθε τὴν ἐλεγείαν, ἧς ἐστιν ἀρχή·

Αὐτὸς κῆρυξ ἦλθον ἀφ' ἱμερτῆς Σαλαμῖνος,
Κόσμον ἐπέων, ᾠδὴν ἀντ' ἀγορῆς,[11] θέμενος.

Τοῦτο τὸ ποίημα Σ α λ α μ ὶ ς ἐπιγέγραπται, καὶ στίχων ἑκατόν ἐστι, χαριέντως πάνυ πεποιημένων. Τότε δὲ ᾀσθέντος αὐτοῦ, καὶ τῶν φίλων τοῦ Σόλωνος ἀρξαμένων ἐπαινεῖν, μάλιστα δὲ τοῦ Πεισιστράτου τοῖς πολίταις ἐγκελευομένου καὶ παρορμῶντος πεισθῆναι τῷ λέγοντι, λύσαντες τὸν νόμον αὖθις ἥπτοντο τοῦ πολέμου, προστησάμενοι[12] τὸν Σόλωνα. Τὰ μὲν οὖν δημώδη τῶν λεγομένων[13] τοιαῦτ' ἐστὶν, ὅτι πλεύσας ἐπὶ Κωλιάδα μετὰ τοῦ Πεισιστράτου, καὶ καταλαβὼν αὐτόθι πάσας τὰς γυναῖκας τῇ Δήμητρι τὴν πάτριον θυσίαν ἐπιτελούσας, ἔπεμψεν ἄνδρα πιστὸν εἰς τὴν Σαλαμῖνα, προσποιούμενον αὐτόμολον εἶναι, κελεύσοντα[14] τοὺς Μεγαρεῖς εἰ βούλονται τῶν Ἀθηναίων τὰς πρώτας λαβεῖν γυναῖκας, ἐπὶ Κωλιάδα μετ' αὐτοῦ πλεῖν τὴν ταχίστην.[15] Ὡς δὲ πεισθέντες οἱ Μεγαρεῖς ἄνδρας ἐξέπεμψαν ἐν τῷ πλοίῳ, καὶ κατεῖδεν ὁ Σόλων τὸ πλοῖον ἐλαυνόμενον ἀπὸ τῆς νήσου, τὰς μὲν γυναῖκας ἐκποδὼν ἀπελθεῖν ἐκέλευσε, τῶν δὲ νεωτέρων τοὺς μηδέπω γενειῶντας ἐνδύμασι καὶ μίτραις καὶ ὑποδήμασι τοῖς ἐκείνων

9°. an elevation from which the heralds were wont to address the people.—10°. ἐν ᾠδῇ equivalent to ᾄδων, *singing*.—11°. for δημηγορίας, *a song instead of an harangue*—12°. προστησάμενοι here indicates, being in the middle voice, *appointing a commander over themselves*.—13°. Τὰ μὲν οὖν δημώδη τῶν λεγομένων for τὰ μὲν δημοσίᾳ λεγόμενα, and that equivalent to τὰ μὲν ὑπὸ τῶν πλείστων λεγόμενα. The τὰ μὲν refers to the ἄλλοι δὲ in the last sentence of this section.—14°. future expressive of design. Gram. § 145. 3. p. 295.—15°. τὴν ταχίστην for ὡς τάχιστα. See Vigerus, S. II. note 15.

σκευασαμένους, καὶ λαβόντας ἐγχειρίδια κρυπτὰ παίζειν καὶ χορεύειν προςέταξε[16] πρὸς τῇ θαλάσσῃ, μέχρις ἂν ἀποβῶσιν[17] οἱ πολέμιοι, καὶ γένηται τὸ πλοῖον ὑποχείριον. Οὕτω δὴ τούτων πραττομένων, ὑπαχθέντες οἱ Μεγαρεῖς τῇ ὄψει, ἐξεπήδων ὡς ἐπὶ γυναῖκας ἁμιλλώμενοι πρὸς ἀλλήλους· ὥςτε μηδένα διαφυγεῖν, ἀλλὰ πάντας ἀπολέσθαι, καὶ τὴν νῆσον ἐπιπλεύσαντας εὐθὺς ἔχειν[18] τοὺς Ἀθηναίους. Ἄλλοι δὲ ἄλλον τινὰ τρόπον γενέσθαι τὴν κατάληψιν λέγουσιν.

II.

ARISTIDES.

Passages from the Life of Aristides.

Ἀριστείδης ὁ Λυσιμάχου, φυλῆς[1] μὲν ἦν Ἀντιοχίδος, τὸν δὲ δῆμον Ἀλωπεκῆθεν.[2] Περὶ δ' οὐσίας αὐτοῦ λόγοι διάφοροι γεγόνασιν, οἱ μὲν, ὡς ἐν πενίᾳ συντόνῳ καταβιώσαντος, καὶ μετὰ τὴν τελευτὴν ἀπολιπόντος θυγατέρας δύο πολὺν χρόνον ἀνεκδότους δι' ἀπορίαν γεγενημένας. Πρὸς δὲ τοῦτον τὸν λόγον ὑπὸ πολλῶν εἰρημένον ἀντιτασσόμενος ὁ Φαληρεὺς Δημήτριος, χωρίον τε Φαληροῖ[3] φησὶ γινώσκειν Ἀριστείδου λεγόμενον, ἐν ᾧ τέθαπται, καὶ ἄλλα τεκμήρια τῆς περὶ τὸν οἶκον εὐπορίας ἀγείρει, οὐ μάλα πιθανὰ, φιλοτιμούμενος αὐτὸν τῆς πενίας[4] ἐξελέσθαι, ὡς μεγάλου κακοῦ.[5]

16°. *προςέταξε τοὺς μηδέπω γενειῶντας τῶν νεωτέρων....παίζειν καὶ χορεύειν.*—17°. See Gram. § 140. 10. p. 285.—18°. that is, *καταλαβεῖν.*

1°. The citizens of Attica were divided into ten tribes, *φυλαὶ*, and these again geographically into 174 *δήμους.*—2°. *τὸν δῆμον*· Gram. § 131. 6. p. 265. *Ἀλωπεκῆθεν*· Gram. § 116. 1. p. 232. The name of the *Demos*, to which Aristides belonged, was *Alopeke.*—3°. *Φαληροῖ*, *at Phalerum*, a Demos of Attica. Gram. § 116. Rem. 2. p. 233.—4°. *τῆς πενίας* for *ἐκ τοῦ τῶν πενήτων ἀριθμοῦ.*—5°. Demetrius Phalereus was a distinguished and opulent rhetorician and statesman, under Alexander's first successors, who doubtless would consider poverty a great evil,

Θαυμαστὴ δέ τις ἐφαίνετο αὐτοῦ παρὰ τὰς ἐν τῇ πολιτείᾳ μεταβολὰς ἡ εὐστάθεια, μήτε ταῖς τιμαῖς ἐπαιρομένου, πρός τε τὰς δυσημερίας ἀθορύβως καὶ πράως ἔχοντος, καὶ ὁμοίως ἡγουμένου χρῆναι τῇ πατρίδι παρέχειν ἑαυτὸν, οὐ χρημάτων[6] μόνον, ἀλλὰ καὶ δόξης[6] προῖκα καὶ ἀμισθὶ πολιτευόμενον. Ὅθεν τῶν εἰς Ἀμφιάραον ὑπ' Αἰσχύλου πεποιημένων ἰαμβείων[7] ἐν τῷ θεάτρῳ λεγομένων,

> Οὐ γὰρ δοκεῖν δίκαιος, ἀλλ' εἶναι θέλει,
> Βαθεῖαν ἄλοκα[8] διὰ φρενὸς καρπούμενος,
> Ἀφ' ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα,

πάντες ἀπέβλεψαν εἰς Ἀριστείδην, ὡς ἐκείνῳ μάλιστα τῆς ἀρετῆς ταύτης προσηκούσης.

Οὐ μόνον δὲ πρὸς εὔνοιαν καὶ χάριν, ἀλλὰ καὶ πρὸς ὀργὴν καὶ πρὸς ἔχθραν ἰσχυρότατος ἦν ὑπὲρ τῶν δικαίων ἀντιβῆναι.[9] Λέγεται γοῦν ποτε διώκων[10] ἐχθρὸν ἐν δικαστηρίῳ, μετὰ τὴν κατηγορίαν οὐ βουλομένων ἀκούειν τοῦ κινδυνεύοντος[11] τῶν δικαστῶν, ἀλλὰ τὴν ψῆφον εὐθὺς αἰτούντων ἐπ' αὐτὸν, ἀναπηδήσας[12] τῷ κρινομένῳ συνικετεύειν, ὅπως ἀκουσθείη καὶ τύχοι τῶν νομίμων.[13]

Πάλιν δὲ κρίνων[14] ἰδιώταις δυσὶ, τοῦ ἑτέρου λέγοντος, ὡς πολλὰ τυγχάνει τὸν Ἀριστείδην ὁ ἀντίδικος λελυπη-

---

6°. The genitives χρημάτων and δόξης add emphasis to προῖκα and ἀμισθὶ, and the whole phrase is equivalent to οὔτε χρημάτων οὔτε δόξης μισθὸν ἐκδεξάμενος. Adjectives and adverbs compounded with a privative, frequently governthe genitive, when the idea of privation (ἄνευ) is predominant.—7°. These lines are from the play of Æschylus, called *The Seren against Thebes.*—8°. The character of Amphiraraus is here compared to a deeply ploughed, and therefore fertile field ; καρπούμενος, that is, ἔχων καρποφόρον βαθεῖαν ἄλοκα.—9°. ἰσχυρότατος ἦν ἀντιβῆναι πρὸς, &c. that is, τῶν δικαίων ἕνεκα, δυνατὸς ἦν καὶ ἔχθρας ἀμνημονεῖν καὶ δι' εὔνοιαν μὴ χαρίζεσθαι.—10°. διώκων, *prosecuting.*—11°. *the defendant.*—12°. Ἀριστείδες.—13°. *enjoy his legal right* of being heard. —14°. *being a judge.*

κῶς,[15] Λέγ᾽, ὦ ᾽γαθὲ, ἔφη, μᾶλλον εἴ τι σὲ κακὸν πεποίηκε· σοὶ γὰρ, οὐκ ἐμαυτῷ, δικάζω.

Πασῶν δὲ τῶν περὶ αὐτὸν ἀρετῶν ἡ δικαιοσύνη μάλιστα τοῖς πολλοῖς αἴσθησιν παρεῖχε, διὰ τὸ τὴν χρείαν ἐνδελεχεστάτην αὐτῆς καὶ κοινοτάτην ὑπάρχειν.[16] Ὅθεν, ἀνὴρ πένης καὶ δημοτικὸς, ἐκτήσατο τὴν βασιλικωτάτην καὶ θειοτάτην προσηγορίαν τὸν Δίκαιον. Ὃ[17] τῶν βασιλέων καὶ τυράννων οὐδεὶς ἐζήλωσεν, ἀλλὰ Πολιορκηταὶ, καὶ Κεραυνοὶ, καὶ Νικάτορες, ἔνιοι δ᾽ Ἀετοὶ καὶ Ἱέρακες[18] ἔχαιρον προσαγορευόμενοι, τὴν ἀπὸ τῆς βίας καὶ τῆς δυνάμεως, ὡς ἔοικε, μᾶλλον, ἢ τὴν ἀπὸ τῆς ἀρετῆς δόξαν ἀγαπῶντες.

Τῷ δ᾽ οὖν Ἀριστείδῃ συνέβη τὸ πρῶτον ἀγαπωμένῳ διὰ τὴν ἐπωνυμίαν, ὕστερον φθονεῖσθαι. Ὁ γὰρ δῆμος ἐπὶ τῇ νίκῃ[19] μέγα φρονῶν, ἤχθετο τοῖς ὄνομα καὶ δόξαν ὑπὲρ τοὺς πολλοὺς ἔχουσι. Καὶ συνελθόντες εἰς ἄστυ πανταχόθεν, ἐξοστρακίζουσι τὸν Ἀριστείδην, ὄνομα τῷ φθόνῳ τῆς δόξης φόβον τυραννίδος θέμενοι.[20] Μοχθηρίας γὰρ οὐκ ἦν ζημία ὁ ἐξοστρακισμὸς, ἀλλ᾽ ἐκαλεῖτο μὲν, δι᾽ εὐπρέπειαν, ὄγκου καὶ δυνάμεως βαρυτέρας ταπείνωσις καὶ κόλασις.[21]

Γραφομένων οὖν τότε τῶν ὀστράκων, λέγεταί τινα τῶν ἀγραμμάτων καὶ παντελῶς ἀγροίκων, ἀναδόντα τῷ Ἀριστείδῃ τὸ ὄστρακον, ὡς ἑνὶ τῶν τυχόντων,[22] παρακαλεῖν, ὅπως Ἀριστείδην ἐγγράψει. Τοῦ δὲ θαυμάσαντος καὶ πυθομένου, μή[23] τι κακὸν αὐτῷ Ἀριστεί-

---

15°. Gram. § 145. Rem. 5. p. 297.—16°. *διὰ τὸ ὑπάρχειν.* Gram. § 141. 5 p. 239.—17°. Ὅ, *Id quod*, referring to the preceding clause.—18°. Alluding to Demetrius Poliorcetes; Ptolemy Ceraunus, king of Macedonia; Seleucus Nicator of Syria; Pyrrhus the Eagle of Epirus; and Antiochus Hierax.—19°. the victory over the Persians.—20°. that is, *giving the fear of tyranny, as a name to their envy of glory.*—21°. *check* or *restraint.*—22°. *as to a causual bystander.*—See Gram. § 149. 5. p. 306.

δης πεποίηκεν, Οὐδὲν εἶπεν, οὐδὲ γινώσκω τὸν ἄνθρωπον, ἀλλ᾽ ἐνοχλοῦμαι πανταχȣ̃ τ ὸ ν Δ ί κ α ι ο ν ἀκούων. Ταῦτ᾽ ἀκούσαντα τὸν Ἀριστείδην ἀποκρίνασθαι[24] μὲν οὐδὲν, ἐγγράψαι δὲ τοὔνομα τῷ ὀστράκῳ καὶ ἀποδοῦναι· Τῆς δὲ πόλεως ἀπαλλαττόμενος ἤδη, τὰς χεῖρας ἀνατείνας εἰς τὸν οὐρανὸν, ηὔξατο, μηδένα καιρὸν Ἀθηναίους καταλαβεῖν, ὃς ἀναγκάσει τὸν δῆμον Ἀριστείδου μνησθῆναι.

Οἱ Ἕλληνες ἐτέλουν μέν τινα, καὶ[26] Λακεδαιμονίων ἡγουμένων, ἀποφορὰν εἰς τὸν πόλεμον, ταχθῆναι δὲ βουλόμενοι κατὰ πόλιν ἑκάστοις τὸ μέτριον,[26] ᾐτήσαντο παρὰ τῶν Ἀθηναίων Ἀριστείδην, καὶ προσέταξαν αὐτῷ, χώραν τε καὶ προσόδους ἐπισκεψάμενον, ὁρίσαι τὸ κατ᾽ ἀξίαν ἑκάστῳ καὶ δύναμιν.[27] Ὁ δὲ τηλικαύτης ἐξουσίας κύριος γενόμενος, καὶ τρόπον τινὰ[28] τῆς Ἑλλάδος ἐπ᾽ αὐτῷ μόνῳ τὰ πράγματα πάντα θεμένης, πένης μὲν ἐξῆλθεν, ἐπανῆλθε δὲ πενέστερος, οὐ μόνον καθαρῶς καὶ δικαίως, ἀλλὰ καὶ προσφιλῶς πᾶσι καὶ ἁρμοδίως τὴν ἐπιγραφὴν τῶν χρημάτων ποιησάμενος. Ὡς γὰρ οἱ παλαιοὶ τὸν ἐπὶ Κρόνου βίον, οὕτως οἱ σύμμαχοι τῶν Ἀθηναίων τὸν ἐπ᾽ Ἀριστείδȣ φόρον, εὐποτμίαν τινὰ τῆς Ἑλλάδος ὀνομάζοντες, ὕμνȣν, καὶ μάλιστα μετ᾽ οὐ πολὺν χρόνον διπλασιασθέντος, εἶτ᾽ αὖθις τριπλασιασθέντος.[29]

Ἀριστείδης εἰς τὸ ἄρχειν[30] ἀνθρώπων τοσούτων καταστήσας τὴν ἑαυτοῦ πατρίδα, αὐτὸς ἐνέμεινε τῇ πενίᾳ,

24°. λέγεται understood.—25°. καὶ refers to other events related before; *Λακεδαιμονίων ἡγουμένων, while the Lacedemonians were at the head of the Grecian confederacy.*—26°. *ταχθῆναι, to be assessed:* κατὰ πόλιν ἑκάστοις for ἑκάστῃ τῶν πόλεων· τὸ μέτριον, *their proportion.*—27°. Construe ὁρίσαι ἑκάστῃ (for ἑκάστῃ τῶν πόλεων) τὸ κατ᾽ ἀξίαν καὶ δύναμιν.—28°. *in some sense.*—29°. *and especially when, soon after, their tax was doubled, and again tripled,* by other rulers; φόρου understood.—30°. εἰς τὸ ἄρχειν, inasmuch as Aristides procured to Athens to take the lead, or possess the Hegemony, in Greece.

καὶ τὴν ἀπὸ τοῦ πένης εἶναι δόξαν οὐδὲν ἧττον ἀγαπῶν τῆς ἀπὸ τῶν τροπαίων διετέλεσε. Δῆλον δ᾽ ἐκεῖθεν. Καλλίας ὁ δᾳδοῦχος[31] ἦν αὐτῷ γένει προσήκων· ταῦτον οἱ ἐχθροὶ θανάτου διώκοντες,[32] ἐπεὶ περὶ ὧν ἐγράψαντο μετρίως κατηγόρησαν,[33] εἶπόν τινα λόγον ἔξωθεν[34] τοιοῦτον, πρὸς τοὺς δικαστάς. Ἀριστειδην, ἔφησαν, ἴστε, τὸν Λυσιμάχου, θαυμαζόμενον ἐν τοις Ἕλλησι· τούτῳ πῶς οἴεσθε τὰ κατ᾽ οἶκον ἔχειν, ὁρῶντες αὐτὸν ἐν τρίβωνι τοιούτῳ προερχόμενον εἰς τὸ δημόσιον; ἆρ᾽ οὐκ εἰκός ἐστι, τὸν ῥιγοῦντα φανερῶς,[35] καὶ πεινῆν[26] οἴκοι, καὶ τῶν ἄλλων ἐπιτηδείων σπανίζειν; τοῦτον μέντοι Καλλίας, ἀνεψιὸν αὐτῷ ὄντα, πλουσιώτατος ὢς Ἀθηναίων, περιορᾷ μετὰ τέκνων καὶ γυναικὸς ἐνδεόμενον, πολλὰ κεχρημένος τῷ ἀνδρὶ, καὶ πολλάκις αὐτοῦ τῆς παρ᾽ ὑμῖν δυνάμεως ἀπολελαυκώς.[37] Ὁ δὲ Καλλίας ὁρῶν ἐπὶ τούτῳ μάλιστα θορυβοῦντας τοὺς δικαστὰς καὶ χαλεπῶς πρὸς αὐτὸν ἔχοντας, ἐκάλει τὸν Ἀριστείδην, ἀξιῶν μαρτυρῆσαι πρὸς τοὺς δικαστὰς, ὅτι πολλάκις αὐτοῦ πολλὰ καὶ διδόντος[38] καὶ δεομένου λαβεῖν, οὐκ ἠθέλησεν, ἀποκρινόμενος, ὡς μᾶλλον αὐτῷ διὰ τὴν πενίαν μέγα φρονεῖν ἢ Καλλίᾳ διὰ τὸν πλοῦτον προσήκει.[39] Ταῦτα τοῦ Ἀριστείδου τῷ Καλλίᾳ προσμαρτυρήσαντος, οὐδεὶς ἦν τῶν ἀκουόντων, ὃς οὐκ ἀπῄει πένης μᾶλλον, ὡς Ἀριστείδης, εἶναι βουλόμενος, ἢ πλουτεῖν, ὡς Καλλίας.

31°. *torch-bearer*, one of the greatest dignities at the Eleusinian mysteries.—32°. Gram. § 132. 4. c). p 269. διώκοντες, a verb of *accusing.*—33°. περὶ ὧν, *with respect to the things charged*; μετρίως κατηγόρησαν, *they accused him faintly.*—34°. ἔξωθεν (opposed to περὶ ὧν) *a point not included in the indictment.*—35°. *that, shivering from cold in public.*—36°. not πεινᾷν. See Gram. § 105. Rem. 3. p. 177.—37°. ἀπολαύειν with the genitive, Gram. § 132. 3. b). (4). p. 268.—38°. διδόντος may be rendered *offering.* It is what the old grammarians called *conatus sine effectu.*—39°. The construction is, ὡς αὐτῷ μᾶλλον προσήκει μέγα φρονεῖν διὰ τὴν πενίαν, ἢ Καλλίᾳ διὰ τὸν πλοῦτον.

III.

THEMISTOCLES.

Λέγεται ὁ Θεμιστοκλῆς, Νεοκλέους υἱὸς, οὕτω παράφορος πρὸς δόξαν εἶναι, καὶ πράξεων μεγάλων ὑπὸ φιλοτιμίας ἐραστὴς, ὥστε[1] νέος ὢν ἔτι, τῆς ἐν Μαραθῶνι μάχης πρὸς τοὺς βαρβάρους[2] γενομένης, καὶ τῆς Μιλτιάδου στρατηγίας διαβοηθείσης, σύννους ὁρᾶσθαι[1] τὰ πολλὰ πρὸς ἑαυτῷ, καὶ τὰς νύκτας ἀγρυπνεῖν καὶ τοὺς πότους παραιτεῖσθαι τοὺς συνήθεις, καὶ λέγειν πρὸς τοὺς ἐρωτῶντας καὶ θαυμάζοντας τὴν περὶ τὸν βίον μεταβολὴν, ὡς καθεύδειν αὐτὸν οὐκ ἐῴη[3] τὸ τοῦ Μιλτιάδου τρόπαιον. Οἱ μὲν γὰρ ἄλλοι πέρας ᾤοντο τοῦ πολέμου τὴν ἐν Μαραθῶνι τῶν βαρβάρων ἧτταν εἶναι, Θεμιστοκλῆς δὲ ἀρχὴν μειζόνων ἀγώνων, ἐφ' οὓς ἑαυτὸν ὑπὲρ τῆς ὅλης Ἑλλάδος ἤλειφεν[4] ἀεὶ, καὶ τὴν πόλιν ἤσκει, πόῤῥωθεν ἤδη προσδοκῶν τὸ μέλλον.

Καὶ πρῶτον μὲν τὴν Λαυριωτικὴν πρόσοδον[5] ἀπὸ τῶν ἀργυρείων μετάλλων ἔθος ἐχόντων Ἀθηναίων διανέμεσθαι, μόνος εἰπεῖν ἐτόλμησε, παρελθὼν εἰς τὸν δῆμον, ὡς χρὴ, τὴν διανομὴν ἐάσαντας, ἐκ τῶν χρημάτων τούτων κατασκευάσασθαι τριήρεις ἐπὶ τὸν πρὸς Αἰγινήτας πόλεμον. Ἤκμαζε γὰρ οὗτος ἐν τῇ Ἑλλάδι μάλιστα, καὶ κατεῖχον οἱ Αἰγινῆται, πλήθει νεῶν, τὴν θάλασσαν. Ἧι καὶ ῥᾷον Θεμιστοκλῆς συνέπεισεν, οὐ Δαρεῖον, οὐδὲ

1°. *ὥστε.... σύννους ὁρᾶσθαι·* for the nominative with the infinitive, see Gram. § 143. Rem. 2. p. 292.—2°. the Persians.—3°. *ἐῴη,* optative mode in *sermone obliquo.* Gram. § 140. 3. p. 283.—4°. *anointed* himself, that is, prepared himself; a figure borrowed from the palæstra.—5°. so called from *Laurivm*, a ridge in Attica, abounding in silver mines.

Πέρσας (μακρὰν γὰρ ἦσαν οὗτοι, καὶ δέος οὐ πάνυ βέβαιον ὡς ἀφιξόμενοι παρεῖχον) ἐπισείων, ἀλλὰ τῇ πρὸς Αἰγινήτας ὀργῇ καὶ φιλονεικίᾳ τῶν πολιτῶν ἀποχρησάμενος εὐκαίρως ἐπὶ τὴν παρασκευήν. Ἑκατὸν γὰρ ἀπὸ τῶν χρημάτων ἐκείνων ἐποιήθησαν τριήρεις, αἳ καὶ πρὸς Ξέρξην ἐναυμάχησαν. Ἐκ δὲ τούτου κατὰ μικρὸν ὑπάγων καὶ καταβιβάζων τὴν πόλιν[5] πρὸς τὴν θάλασσαν, ὡς[6] τὰ πεζὰ μὲν οὐδὲ τοῖς ὁμόροις ἀξιομάχους ὄντας, τῇ δ' ἀπὸ τῶν νεῶν ἀλκῇ καὶ τοὺς βαρβάρους ἀμύνασθαι, καὶ τῆς Ἑλλάδος ἄρχειν δυναμένους, ἀντὶ μονίμων ὁπλιτῶν, ὥς φησι Πλάτων, ναυβάτας καὶ θαλαττίους ἐποίησε. Καὶ διαβολὴν καθ' αὑτοῦ παρέσχεν, ὡς ἄρα Θεμιστοκλῆς τὸ δόρυ καὶ τὴν ἀσπίδα[7] τῶν πολιτῶν παρελόμενος, εἰς ὑπηρέσιον καὶ κώπην συνέστειλε τὸν τῶν Ἀθηναίων δῆμον. Ἔπραξε δὲ ταῦτα Μιλτιάδου κρατήσας ἀντιλέγοντος. Εἰ μὲν δὴ τὴν ἀκρίβειαν καὶ τὸ καθαρὸν[8] τοῦ πολιτεύματος ἔβλαψεν, ἢ μὴ, ταῦτα πράξας, ἔστω φιλοσοφώτερον ἐπισκοπεῖν. Ὅτι δ' ἡ τότε σωτηρία τοῖς Ἕλλησιν ἐκ τῆς θαλάσσης ὑπῆρξε, καὶ τὴν Ἀθηναίων πόλιν λυθεῖσαν ἔστησαν αἱ τριήρεις ἐκεῖναι, τά τ' ἄλλα,[9] καὶ Ξέρξης αὐτὸς ἐμαρτύρησε. Τῆς γὰρ πεζικῆς δυνάμεως ἀθραύστου διαμενούσης, ἔφυγε μετὰ τὴν τῶν νεῶν ἧτταν, ὡς οὐκ ὢν ἀξιόμαχος. Καὶ Μαρδόνιον[10] ἐμποδὼν εἶναι τοῖς Ἕλλησι τῆς διώξεως μᾶλλον, ἢ δουλωσόμενον αὐτοὺς, ὡς ἐμοὶ δοκεῖ, κατέλιπεν.

5°. *τὴν πόλιν* equivalent to *τούς πολίτας*, with which *ἀξιομάχους* in the next clause must be considered as agreeing.—6°. *ὡς* thus used with a participle expresses ground or reason. Gram. § 146. Rem. 5. p. 299.—7°. the implements of free citizens.—8°. the strictness and purity of republican governme t requiring that the citizens be exempted from all servile labor.—9°. *in addition to other proofs.* Gram. § 151. *τά τε ἄλλα*, p. 313.—10°. The construction is. *κατέλιπεν Μαρδόνιον ἐμποδὼν εἶναι, he left Mardonius to obstruct the Greeks in the pursuit.*

IV.

THEMISTOCLES.

Incidents in the second Persian War.

Θεμιστοκλῆς παραλαβὼν τὴν ἀρχὴν, εὐθὺς μὲν ἐπεχείρει τοὺς πολίτας ἐμβιβάζειν εἰς τὰς τριήρεις, καὶ τὴν πόλιν ἔπεισεν ἐκλιπόντας[11] ὡς προσωτάτω τῆς Ἑλλάδος[12] ἀπαντᾷν τῷ βαρβάρῳ κατὰ θάλασσαν. Προσεχόντων[13] δὲ τῶν Ἀθηναίων αὐτῷ, πέμπεται μετὰ νεῶν ἐπ' Ἀρτεμίσιον τὰ στενὰ φυλάξων. Ἔνθα δὴ τῶν μὲν Ἑλλήνων[14] Εὐρυβιάδην καὶ Λακεδαιμονίους ἡγεῖσθαι κελευόντων, τῶν δὲ Ἀθηναίων, ὅτι πλήθει τῶν νεῶν σύμπαντας ὁμοῦ τι[15] τοὺς ἄλλους ὑπερέβαλλον, οὐκ ἀξιούντων ἑτέροις ἕπεσθαι, συνιδὼν τὸν κίνδυνον ὁ Θεμιστοκλῆς, αὐτός τε τὴν ἀρχὴν Εὐρυβιάδῃ παρῆκε, καὶ κατεπράϋνε τοὺς Ἀθηναίους, ὑπισχνούμενος,[16] ἂν ἄνδρες ἀγαθοὶ[17] γένωνται πρὸς τὸν πόλεμον, ἑκόντας αὐτοῖς παρέξειν εἰς τὰ λοιπὰ πειθομένους τοὺς Ἕλληνα . Δι' ὅπερ δοκεῖ τῆς σωτηρίας αἰτιώτατος γενέσθαι τῇ Ἑλλάδι, καὶ μάλιστα τοὺς Ἀθηναίους προαγαγεῖν εἰς δόξαν, ὡς ἀνδρείᾳ μὲν τῶν πολεμίων, εὐγνωμοσύνῃ δὲ τῶν συμμάχων περιγενομένους.

Αἱ δε γενόμεναι τότε πρὸς τὰς τῶν βαρβάρων ναῦς περὶ τὰ στενὰ μάχαι[18] κρίσιν μὲν εἰς τὰ ὅλα μεγάλην

11°. the construction is, καὶ ἔπεισεν (αὐτοὺς) ἐκλιπόντας τὴν πόλιν.—12°. *as far as possible from Greece.*—13°. τὸν νοῦν understood.—14°. *the other Greeks.*—15°. ὁμοῦ τι, i. e. σχεδὸν, *nearly.*—16°. The construction is, ὑπισχνούμενος παρέξειν τοὺς Ἕλληνας ἑκόντας πειθομένους αὐτοῖς. 17–°. *gallant warriors.*—18°. *αἱ μάχαι*, viz. the battles at Artemisium.

οὐκ ἐποίησαν, τῇ δὲ πείρᾳ μάλιστα τοὺς Ἕλληνας ὤνησαν, ὑπὸ τῶν ἔργων παρὰ τοὺς κινδύνους διδαχθέντας, ὡς οὔτε πλήθη νεῶν, οὔτε κόσμοι καὶ λαμπρότητες ἐπισήμων, οὔτε κραυγαὶ κομπώδεις, ἢ βάρβαροι παιᾶνες ἔχουσί τι δεινὸν ἀνδράσιν ἐπισταμένοις εἰς χεῖρας ἰέναι, καὶ μάχεσθαι τολμῶσιν· ἀλλὰ δεῖ τῶν τοιούτων καταφρονοῦντας ἐπ᾽ αὐτὰ τὰ σώματα φέρεσθαι, καὶ πρὸς ἐκεῖνα διαγωνίζεσθαι συμπλακέντας. Ὃ δὴ καὶ Πίνδαρος οὐ κακῶς ἔοικε συνιδὼν ἐπὶ τῆς ἐπ᾽ Ἀρτεμισίῳ μάχης εἰπεῖν,[19] ὅ θ ι[20] π α ῖ δ ε ς Ἀ θ η ν α ί ω ν ἐ β ά λ ο ν τ ο φ α ε ν ν ὰ ν κ ρ η π ῖ δ α ἐ λ ε υ θ ε ρ ί α ς. Ἀρχὴ γὰρ ὄντως τοῦ νικᾶν τὸ θαῤῥεῖν.

Ξέρξου δὲ διὰ τῆς Δωρίδος ἄνωθεν ἐμβαλόντος εἰς τὴν Φωκίδα, καὶ τὰ τῶν Φωκέων ἄστη πυρπολοῦντος, οὐ προςήμυνον οἱ Ἕλληνες, καίπερ τῶν Ἀθηναίων δεομένων εἰς τὴν Βοιωτίαν ἀπαντῆσαι πρὸ τῆς Ἀττικῆς ὥςπερ αὐτοὶ κατὰ θάλατταν ἐπ᾽ Ἀρτεμίσιον ἐβοήθησαν. Μηδενὸς δ᾽ ὑπακούοντος αὐτοῖς, ἀλλὰ τῆς Πελοποννήσου περιεχομένων,[21] καὶ πᾶσαν ἐντὸς Ἰσθμοῦ τὴν δύναμιν ὡρμημένων συνάγειν, καὶ διατειχιζόντων τὸν Ἰσθμὸν εἰς θάλατταν ἐκ θαλάττης, ἅμα μὲν ὀργὴ τῆς προδοσίας εἶχε τοὺς Ἀθηναίους, ἅμα δὲ δυςθυμία καὶ κατήφεια μεμονωμένους. Μάχεσθαι μὲν γὰρ οὐ διενοοῦντο μυριάσι ςρατῦ[22] τοσαύταις· ὃ δ᾽ ἦν μόνον ἀναγκαῖον ἐν τῷ παρόντι, τὴν πόλιν ἀφέντας ἐμφῦναι ταῖς ναυσὶν, οἱ πολλοὶ χαλεπῶς ἤκουον, ὡς μήτε νίκης

19°. The construction is, οὐ κακῶς ἔοικεν εἰπεῖν.—20°. ὅθι for οὗ *where:* φαεννὰν Doric for φαεινήν· κρηπῖδα, *base, foundation*, a favorite trope with Pindar.—21°. *being wholly occupied with the Peloponnesus:* ἐντὸς Ἰσθμοῦ, within the Peleponnesus.—22. πολεμίων understood.

δεόμενοι, μήτε σωτηρίαν ἐπιστάμενοι,[23] θεῶν τε ἱερὰ καὶ πατέρων ἠρία προϊεμένων.

Ἔνθα δὴ Θεμιςοκλῆς ἀπορῶν τοῖς ἀνθρωπίνοις λογισμοῖς προςάγεσθαι τὸ πλῆθος, σημεῖα δαιμόνια καὶ χρησμοὺς ἐπῆγεν αὐτοῖς, καὶ κρατήσας τῇ γνώμῃ, ψήφισμα γράφει, τὴν μὲν πόλιν παρακαταθέσθαι τῇ Ἀθηνᾷ τῇ Ἀθηναίων μεδεούσῃ, τοὺς δ' ἐν ἡλικίᾳ πάντας ἐμβαίνειν εἰς τὰς τριήρεις, παῖδας δὲ καὶ γυναῖκας καὶ ἀνδράποδα σώζειν ἕκαστον ὡς δυνατόν. Κυρωθέντος δὲ τοῦ ψηφίσματος, οἱ πλεῖστοι τῶν Ἀθηναίων ὑπεξέθεντο γονέας καὶ γυναῖκας εἰς Τροιζῆνα, φιλοτίμως πάνυ τῶν Τροιζηνίων ὑποδεχομένων. Καὶ γὰρ τρέφειν ἐψηφίσαντο δημοσίᾳ, δύο ὀβολοὺς ἑκάστῳ διδόντες, καὶ τῆς ὀπώρας λαμβάνειν τοὺς παῖδας ἐξεῖναι πανταχόθεν,[24] ἔτι δ' ὑπὲρ αὐτῶν διδασκάλοις τελεῖν μισθούς.

Ἐκπλεούσης δὲ τῆς πόλεως, τοῖς μὲν οἶκτον τὸ θέαμα, τοῖς δὲ θαῦμα τῆς τόλμης παρεῖχε,[25] γονέας μὲν ἄλλῃ προπεμπόντων,[26] αὐτῶν δ' ἀκάμπτων πρὸς οἰμωγὰς καὶ δάκρυα γυναικῶν καὶ τέκνων περιβολὰς διαπερώντων εἰς τὴν νῆσον.[27]. Καίτοι πολλοὶ μὲν διὰ γῆρας ἀπολιμπανόμενοι τῶν πολιτῶν ἔλεον εἶχον.[28] Ἦν δέ τις καὶ ἀπὸ τῶν ἡμέρων καὶ συντρόφων ζώων ἐπικλῶσα γλυκυθυμία,[29] μετ' ὠρυγῆς καὶ πόθου συμπαραθεόντων ἐμβαίνουσι

23°. *nor did they acknowledge* (ἐπιστάμενοι) *as a preservation, that whereby men were obliged to desert the temples of the gods and the monuments of their fathers.* προϊεμένων agrees with ἀνδρῶν understood, and that is governed by σωτηρίαν.—24· The construction is, καὶ ἐξεῖναι (ἐψηφίσαντο) τοὺς παῖδας πανταχόθεν λαμβάνειν τῆς ὀπώρας.—25°. The construction is, τὸ θέαμα τῆς τόλμης τοῖς μὲν παρεῖχε οἶκτον, τοῖς δὲ θαῦμα.—26°. τῶν πολίτων understood. included in πόλεως.—27°. of Salamis.—28°. equivalent to ἔλεον ἐκίνουν.—29°. γλυκυθυμία τις ἀπὸ τῶν ζώων ἦν, ἐπικλῶσα (τὸν θυμὸν), *moving the feelings.*

τοῖς ἑαυτῶν τροφεῦσιν. Ἐν οἷς ἱστορεῖται κύων Ξανθίππȣ, τοῦ Περικλέȣς πατρὸς, οὐκ ἀνασχόμενος τὴν ἀπ' αὐτοῦ μόνωσιν, ἐναλέσθαι τῇ θαλάττῃ, καὶ τῇ τριήρει παρανηχόμενος, ἐμπεσεῖν εἰς τὴν Σαλαμῖνα καὶ λειποθυμήσας ἀποθανεῖν εὐθύς. Οὗ καὶ τὸ δεικνύμενον ἄχρι νῦν, καὶ καλούμενον Κυνὸς σῆμα τάφον εἶναι λέγȣσι.[30]

Ταῦτα[31] δὴ μεγάλα τοῦ Θεμιςοκλέȣς. Εὐρυβιάδου τὴν μὲν ἡγεμονίαν τῶν νεῶν ἔχοντος διὰ τὸ τῆς Σπάρτης ἀξίωμα, μαλακοῦ δὲ περὶ τὸν κίνδυνον ὄντος, αἴρειν[32] δὲ βȣλομένȣ καὶ πλεῖν ἐπὶ τὸν Ἰσθμὸν, ὅπȣ καὶ τὸ πεζὸν ἤθροιςο τῶν Πελοποννησίων, ὁ Θεμιςοκλῆς ἀντέλεγεν· ὅτε καὶ τὰ μνημονευόμενα λεχθῆναί φασι. Τοῦ γὰρ Εὐρυβιάδȣ πρὸς αὐτὸν εἰπόντος· Ὦ Θεμιστόκλεις, ἐν τοῖς ἀγῶσι τοὺς προεξανισταμένους ῥαπίζουσι·[33] Ναὶ, εἶπεν ὁ Θεμιστοκλῆς, ἀλλὰ τοὺς ἀπολειφθέντας οὐ στεφανοῦσιν. Ἐπαραμένου δὲ τὴν βακτηρίαν ὡς πατάξοντος, ὁ Θεμιστοκλῆς ἔφη· Πάταξον μὲν, ἄκουσον δέ. Θαυμάσαντος δὲ τὴν πρᾳότητα τοῦ Εὐρυβιάδου, καὶ λέγειν κελεύσαντος, ὁ μὲν Θεμιστοκλῆς ἀνῆγεν αὐτὸν ἐπὶ τὸν λόγον. Εἰπόντος δέ τινος, ὡς ἀνὴρ ἄπολις[34] οὐκ ὀρθῶς διδάσκει τοὺς ἔχοντας[35] ἐγκαταλιπεῖν καὶ προέσθαι τὰς πατρίδας, ὁ Θεμιςοκλῆς ἐπιςρέψας τὸν λόγον, Ἡμεῖς τοι, εἶπεν, ὦ μοχθηρὲ, τὰς μὲν οἰκίας καὶ τὰ τείχη καταλελοίπαμεν, οὐκ ἀξιοῦντες, ἀψύχων ἕνεκα, δȣλεύειν· πόλις δ' ἡμῖν ἐστι μεγίστη τῶν Ἑλληνίδων, αἱ διακόσιαι τριήρεις, αἳ νῦν ὑμῖν παρεςᾶσι βοηθοὶ σώζεσθαι δι' αὐτῶν βȣλομένοις.[36] Εἰ δ' ἄπιτε δεύτερον[37]

30°. the construction is, οὗ τάφον εἶναι λέγουσι τὸ δεικνύμενον, &c.—31°. ταῦτα, *the following.*—32°. that is, τὰς ἀγκύρας, *to weigh.*—33°. *they chastise those who start before the signal.*—34°. ἄπολις, because Athens was deserted by its inhabitants and in the possession of the Persians.—35°. πόλιν understood.—36°. The construction is, αἳ νῦν παρεστᾶσι βοηθοὶ ἡμῖν βουλομένοις σώζεσθαι δι' αὐτῶν.—37°. alluding to the circumstance mentioned, page 187. note 21.

ἡμᾶς προδόντες, αὐτίκα πεύσεταί τις Ἑλλήνων,[38] Ἀθηναίους καὶ πόλιν ἐλευθέραν, καὶ χώραν οὐ χείρονα κεκτημένους, ἧς ἀπέβαλον.[39] Ταῦτα τοῦ Θεμιστοκλέους εἰπόντος, ἔννοια καὶ δέος ἔσχε τὸν Εὐρυβιάδην τῶν Ἀθηναίων, μὴ σφᾶς ἀπολιπόντες οἴχωνται.

Λέγεται δ' ὑπό τινων, τὸν μὲν[40] Θεμιστοκλέα περὶ τούτων ἀπὸ τοῦ καταστρώματος ἄνωθεν τῆς νεὼς διαλέγεσθαι, γλαῦκα[41] δ' ὀφθῆναι διαπετομένην ἐπὶ τὰ δεξιὰ τῶν νεῶν, καὶ τοῖς καρχησίοις ἐπικαθίζουσαν· δι' ὃ δὴ καὶ μάλιστα προσέθεντο τῇ γνώμῃ, καὶ παρεσκευάζοντο ναυμαχήσοντες. Ἀλλ' ἐπεὶ τῶν πολεμίων ὁ στόλος τῇ Ἀττικῇ κατὰ τὸ Φαληρικὸν προσφερόμενος, τοὺς πέριξ ἀπέκρυψεν αἰγιαλοὺς, αὐτός τε βασιλεὺς μετὰ τοῦ πεζοῦ στρατοῦ καταβὰς ἐπὶ τὴν θάλατταν ἀθρόους ὤφθη, τῶν δυνάμεων ὁμοῦ γενομένων, ἐξεῤῥύησαν οἱ τοῦ Θεμιστοκλέους λόγοι τῶν Ἑλλήνων,[42] καὶ πάλιν ἐπάπταινον οἱ Πελοποννήσιοι πρὸς τὸν Ἰσθμὸν, εἴ τις ἄλλο τι λέγοι χαλεπαίνοντες. Ἐδόκει δὲ τῆς νυκτὸς ἀποχωρεῖν, καὶ παρηγγέλλετο πλοῦς τοῖς κυβερνήταις. Ἔνθα δὴ βαρέως φέρων ὁ Θεμιστοκλῆς, εἰ[43] τὴν ἀπὸ τοῦ τόπου καὶ τῶν στενῶν προέμενοι βοήθειαν, οἱ Ἕλληνες διαλυθήσονται κατὰ πόλεις, ἐβουλεύετο καὶ συνετίθει τὴν[44] περὶ τὸν Σίκιννον πραγματείαν. Ἦν δὲ τῷ γένει Πέρσης ὁ Σίκιννος αἰχμάλωτος, εὔνους δὲ τῷ Θεμιστοκλεῖ, καὶ τῶν τέκνων αὐτοῦ παιδαγωγός. Ὃν

38°. for οἱ Ἕλληνες πεύσονται. Themistocles threatens that the Athenians would withdraw and settle in some other region. See Herodotus, viii. 62.—39°. *Attraction*, Gram. § 144. 3. p. 293.—40°. μὲν....δὲ sometimes indicate that two circumstances are contemporaneous, in which case the first clause may be expressed by *while*.—41°. The owl was the bird consecrated to Minerva. —42°. *the words of Themistocles escaped from the minds of the Grecians.*— 43°. εἰ for ὅτι, by a frequent idiom: βοήθειαν, *advantage.*—44°. The article indicates that the circumstance was well known; *the notorious stratagem with Sicinnus.*

ἐκπέμπει πρὸς τὸν Πέρσην κρύφα, κελεύσας λέγειν, ὅτι Θεμιστοκλῆς, ὁ τῶν Ἀθηναίων στρατηγὸς, αἱρούμενος τὰ βασιλέως,[45] ἐξαγγέλλει πρῶτος αὐτῷ τοὺς Ἕλληνας ἀποδιδράσκοντας, καὶ διακελεύεται μὴ παρεῖναι φυγεῖν αὐτοῖς, ἀλλ' ἐν ᾧ[46] ταράσσονται τῶν πεζῶν χωρὶς ὄντες, ἐπιθέσθαι καὶ διαφθεῖραι τὴν ναυτικὴν δύναμιν. Ταῦτα, δ' ὁ Ξέρξης ὡς ἀπ' εὐνοίας λελεγμένα δεξάμενος, ἥσθη, καὶ τέλος[47] εὐθὺς ἐξέφερε πρὸς τοὺς ἡγεμόνας τῶν νεῶν, τὰς μὲν ἄλλας πληροῦν καθ' ἡσυχίαν, διακοσίαις δ' ἀναχθέντας ἤδη περιβαλέσθαι τὸν πόρον ἐν κύκλῳ πάντα, καὶ διαζῶσαι[48] τὰς νήσους, ὅπως ἐκφύγῃ μηδεὶς τῶν πολεμίων. Οὕτως οἱ Ἕλληνες ἐκινήθησαν ἀνάγκῃ πρὸς τὸν κίνδυνον.

Ἅμα δ' ἡμέρᾳ Ξέρξης μὲν ἄνω καθῆστο, τὸν στόλον ἐποπτεύων καὶ τὴν παράταξιν, ὡς μὲν Φανόδημός[49] φησιν, ὑπὲρ τὸ Ἡράκλειον, ᾗ βραχεῖ πόρῳ διείργεται τῆς Ἀττικῆς ἡ νῆσος, ὡς δ' Ἀκεστόδωρος, ἐν μεθορίῳ τῆς Μεγαρίδος, ὑπὲρ τῶν καλουμένων Κεράτων,[50] χρυσοῦν δίφρον θέμενος, καὶ γραμματεῖς πολλοὺς παραστησάμενος,[51] ὧν ἔργον ἦν ἀπογράφεσθαι κατὰ τὴν μάχην τὰ πραττόμενα.

Περὶ δὲ τοῦ πλήθους τῶν βαρβαρικῶν νεων Αἰσχύλος ὁ ποιητὴς, ἐν τραγῳδίᾳ Πέρσαις, λέγει ταῦτα·

Ξέρξῃ δὲ (καὶ γὰρ οἶδα) χιλιὰς μὲν ἦν
Νεῶν τὸ πλῆθος· αἱ δ' ὑπέρκομποι τάχει[52]
Ἑκατὸν δὶς ἦσαν, ἑπτά θ'· ὧδ' ἔχει λόγος·

45°. τὰ βασιλέως *the cause* or *interest of the king*. Gram. § 125. Rem. 3. p. 256. —46°. χρόνῳ understood.—47°. τέλος is here equivalent to ἐντολή, *command*.—48°. διαζώννυμι.—49°. Phanodemus wrote a history of Attica, which is lost: of Acestodorus nothing is known.—50°. τὰ Κέρατα, two mountains, opposite Salamis and near the boundary between Megara and Attica.—51°. *placing near himself*.—52°. that is, ὧν αἱ ταχυτῆτι ἔξοχοι οὖσαι· λόγος, *computation*.

τῶν δ' Ἀττικῶν ἑκατὸν ὀγδοήκοντα τὸ πλῆθος οὐσῶν, ἑκάστη τοὺς ἀπὸ τοῦ καταστρώματος μαχομένους ὀκτωκαίδεκα εἶχεν· ὧν τοξόται τέσσαρες ἦσαν, οἱ λοιποὶ δ' ὁπλῖται. Δοκεῖ δὲ οὐχ ἧττον εὖ τὸν καιρὸν ὁ Θεμιστοκλῆς, ἢ τὸν τόπον, συνιδὼν καὶ φυλάξας,[53] μὴ πρότερον ἀντιπρώρους καταστῆσαι ταῖς βαρβαρικαῖς τὰς τριήρεις, ἢ τὴν εἰωθυῖαν ὥραν παραγενέσθαι, τὴν τὸ πνεῦμα λαμπρὸν[54] ἐκ πελάγους ἀεὶ καὶ κῦμα διὰ τῶν στενῶν κατάγουσαν· ὃ τὰς μὲν Ἑλληνικὰς οὐκ ἔβλαπτε ναῦς, ἁλιτενεῖς οὔσας καὶ ταπεινοτέρας, τὰς δὲ βαρβαρικὰς, ταῖς τε πρύμναις ἀνεστώσας καὶ τοῖς καταστρώμασιν ὑψορόφους καὶ βαρείας ἐπιφερομένας ἔσφαλλε προσπίπτον,[55] καὶ παρεδίδου πλαγίας[56] τοῖς Ἕλλησιν ὀξέως προσφερομένοις, καὶ τῷ Θεμιστοκλεῖ προσέχουσιν,[57] ὡς ὁρῶντι μάλιστα τὸ συμφέρον.

Τοῦ δὲ ἀγῶνος ἤδη πολὺ προβεβηκότος, φῶς μὲν ἐκλάμψαι μέγα λέγουσιν Ἐλευσινόθεν, ἦχον δὲ καὶ φωνὴν τὸ Θριάσιον κατέχειν πεδίον,[58] ἄχρι τῆς θαλάττης, ὡς ἀνθρώπων ὁμοῦ πολλῶν τὸν μυστικὸν ἐξαγαγόντων Ἴακχον. Ἐκ δὲ τοῦ πλήθους τῶν φθεγγομένων κατὰ μικρὸν ἀπὸ γῆς ἀναφερόμενον νέφος ἔδοξεν αὖθις ὑπονοστεῖν καὶ κατασκήπτειν εἰς τὰς τριήρεις. Ἕτεροι δὲ φάσματα καὶ εἴδωλα καθορᾶν ἔδοξαν ἐνόπλων ἀνδρῶν, ἀπ' Αἰγίνης[59] τὰς χεῖρας ἀνεχόντων πρὸ τῶν

53°. φυλάξας for τηρήσας.—54°. *a fresh strong wind*, ὥραν...κατάγουσαν, at a certain hour in the morning, a wind from sea always prevails in these regions.—55°. This participle agrees with ὃ, the relative pronoun of the beginning of the sentence.—56°. The winds and waves brought the Persians' ships round broadside to the Greeks, and thus exposed them to the latter.—57°. that is, τὸν νοῦν.—58°. The Thriasian field of Eleusis was traversed by the procession of the initiated when they bore the image of the young Iacchus from Athens to Eleusis.—59°. coming from Ægina.

Ἑλληνικῶν τριηρῶν· οὓς εἴκαζον Αἰακίδας[60] *εἶναι, παρακεκλημένους εὐχαῖς πρὸ τῆς μάχης ἐπὶ τὴν βοήθειαν. Πρῶτος μὲν οὖν λαμβάνει ναῦν Λυκομήδης, ἀνὴρ Ἀθηναῖος, τριηραρχῶν, ἧς τὰ παράσημα περικόψας ἀνέθηκεν Ἀπόλλωνι δαφνηφόρῳ. Οἱ δ᾽ ἄλλοι τοῖς βαρβάροις ἐξισούμενοι τὸ πλῆθος,*[61] *ἐν στενῷ κατὰ μέρος προσφερομένους καὶ περιπίπτοντας ἀλλήλοις, ἐτρέψαντο μέχρι δείλης ἀντισχόντας,*[62] *ὡς εἴρηκε Σιμωνίδης, τὴν καλὴν ἐκείνην καὶ περιβόητον ἀράμενοι νίκην, ἧς οὔθ᾽ Ἕλλησιν, οὔτε βαρβάροις ἐνάλιον ἔργον*[63] *εἴργασαι λαμπρότερον, ἀνδρείᾳ μὲν καὶ προθυμίᾳ κοινῇ τῶν ναυμαχησάντων, γνώμῃ δὲ καὶ δεινότητι Θεμιστοκλέους.*

Πόλεων μὲν[64] *οὖν τὴν Αἰγινητῶν ἀριστεῦσαί φησιν Ἡρόδοτος, Θεμιστοκλεῖ δὲ, καίπερ ἄκοντες ὑπὸ φθόνου, τὸ πρωτεῖον ἀπέδοσαν ἅπαντες. Ἐπεὶ γὰρ ἀναχωρήσαντες εἰς τὸν Ἰσθμὸν, ἀπὸ τοῦ βωμοῦ*[65] *τὴν ψῆφον ἔφερον οἱ στρατηγοὶ, πρῶτον μὲν ἕκαστος ἑαυτὸν ἀπέφαινεν ἀρετῇ, δεύτερον δὲ μεθ᾽ ἑαυτὸν Θιμιστοκλέα· Λακεδαιμόνιοι δὲ εἰς τὴν Σπάρτην αὐτὸν καταγαγόντες, Εὐρυβιάδῃ μὲν ἀνδρείας, ἐκείνῳ δὲ σοφίας ἀριστεῖον ἔδοσαν, θαλλοῦ στέφανον· καὶ τῶν κατὰ τὴν πόλιν ἁρμάτων τὸ πρωτεῦον ἐδωρήσαντο, καὶ τριακοσίους τῶν νέων πομποὺς*[66] *ἄχρι τῶν ὅρων συνεξέπεμψαν. Λέγεται δ᾽, Ὀλυμπίων τῶν ἐφεξῆς ἀγομένων, καὶ παρελθόντος εἰς τὸ στάδιον τοῦ Θεμιστοκλέους, ἀμελήσαντας τῶν*

60°. Peleus and Telamon who were worshipped in Ægina.—61°. equalling them in numbers, because, in the narrow strait, a part only of the Persian vessels could be brought into action.—62°. *βαρβάρους* understood.—63°. *ἐνάλιον ἔργον*, that is, *ναυμαχία*.—64°. to *πόλεων μὲν* in the protasis, *ἀνδρῶν δὲ* in the apodosis ought to correspond. Instead of *ἀνδρῶν δὲ*, however, *Θεμιστοκλεῖ* stands, which is equivalent.—65°. From the altar of Neptune the commanders received each two ballots (*ψῆφοι*) in order to vote, who was entitled to the first and who to the second prize.—66°. as an escort.

ἀγωνιστῶν τοὺς παρόντας, ὅλην τὴν ἡμέραν ἐκεῖνον θεᾶσθαι, καὶ τοῖς ξένοις ἐπιδεικνύειν, ἅμα θαυμάζοντας καὶ κροτοῦντας· ὥστε καὶ αὐτὸν ἡσθέντα πρὸς τοὺς φίλους ὁμολογῆσαι τὸν καρπὸν ἀπέχειν τῶν ὑπὲρ τῆς Ἑλλάδος αὐτῷ πονηθέντων.

V.

CIMON.

Κίμων ὁ Μιλτιάδου, οὔτε τόλμῃ Μιλτιάδου λειπόμενος, οὔτε συνέσει Θεμιστοκλέους, δικαιότερος ἀμφοῖν ὁμολογεῖται γενέσθαι, καὶ ταῖς πολεμικαῖς οὐδὲ μικρὸν ἀποδέων ἀρεταῖς ἐκείνων, ἀμήχανον ὅσον[1] ἐν ταῖς πολιτικαῖς ὑπερβαλέσθαι, νέος ὢν ἔτι καὶ πολέμων ἄπειρος. Ὅτε γὰρ τὸν δῆμον, ἐπιόντων Μήδων, Θεμιστοκλῆς ἔπειθε,[2] προέμενον τὴν πόλιν, καὶ τὴν χώραν ἐκλιπόντα, πρὸ τῆς Σαλαμῖνος ἐν ταῖς ναυσὶ τὰ ὅπλα θέσθαι,[3] καὶ διαγωνίσασθαι κατὰ θάλασσαν, ἐκπεπληγμένων τῶν πολλῶν[4] τὸ τόλμημα, πρῶτος Κίμων ὤφθη διὰ τοῦ Κεραμεικοῦ[5] φαιδρὸς ἀνιὼν εἰς τὴν ἀκρόπολιν μετὰ τῶν ἑταίρων, ἵππου τινὰ χαλινὸν[6] ἀναθεῖναι τῇ θεῷ διὰ χειρῶν κομίζων· ὡς οὐδὲν ἱππικῆς ἀλκῆς ἀλλὰ ναυμάχων ἀνδρῶν ἐν τῷ παρόντι τῆς πόλεως δεομένης. Ἀναθεὶς δὲ τὸν χαλινὸν, καὶ λαβὼν ἐκ τῶν περὶ τὸν ναὸν κρεμαμένων ἀσπίδων,[7] καὶ προσευξάμενος τῇ θεῷ, κατέ-

---

1°. So in Latin, *immane quantum*.—2°. ἔπειθε, *endeavored to persuade, exhorted*.—3°. τὰ ὅπλα θέσθαι, *to put themselves in battle array*.—4°. τῶν πολλῶν, *plerisque*. See Hermann. ad Viger. p. 723. 96.—5°. the name of a street and ward in the western part of Athens.—6°. It was the custom to consecrate in a temple whatever one foreswore the use of, thenceforward: διὰ χειρῶν for ἐν χερσίν.—7°. Shields taken from an enemy in battle were hung up as trophies in the temples.

βαινεν ἐπὶ θάλασσαν, οὐκ ὀλίγοις ἀρχὴ τοῦ θαῤῥεῖν γενόμενος. Ἦν δὲ καὶ τὴν ἰδέαν οὐ μεμπτὸς ἀλλὰ μέγας, πολλῇ καὶ οὔλῃ τριχὶ κομῶν τὴν κεφαλήν. Φανεὶς δὲ κατ' αὐτὸν τὸν ἀγῶνα λαμπρὸς καὶ ἀνδρώδης, ταχὺ δόξαν ἐν τῇ πόλει μετ' εὐνοίας ἔσχεν, ἀθροιζομένων πολλῶν πρὸς αὐτὸν, καὶ παρακαλούντων ἄξια τοῦ Μαραθῶνος ἤδη διανοεῖσθαι καὶ πράσσειν. Ὁρμήσαντα[8] δ' αὐτὸν ἐπὶ τὴν πολιτείαν ἄσμενος ὁ δῆμος ἐδέξατο, καὶ μεστὸς[9] ὢν τοῦ Θεμιστοκλέους, ἀνῆγε πρὸς τὰς μεγίστας ἐν τῇ πόλει τιμὰς καὶ ἀρχὰς, εὐάρμοστον ὄντα καὶ προσφιλῆ τοῖς πολλοῖς, διὰ πρᾳότητα καὶ ἀφέλειαν. Οὐχ ἥκιστα[10] δ' αὐτὸν ηὔξησεν Ἀριστείδης ὁ Λυσιμάχου τὴν εὐφυΐαν ἐνορῶν τῷ ἤθει,[11] καὶ ποιούμενος οἷον ἀντίπαλον[12] πρὸς τὴν Θεμιστοκλέους δεινότητα καὶ τόλμαν.

Ἐπεὶ δὲ, Μήδων[13] φυγόντων ἐκ τῆς Ἑλλάδος, ἐπέμφθη στρατηγὸς κατὰ θάλασσαν, οὔπω τὴν ἀρχὴν[14] Ἀθηναίων ἐχόντων, ἔτι δὲ Παυσανίᾳ καὶ Λακεδαιμονίοις ἑπομένων, πρῶτον μὲν ἐν ταῖς στρατηγίαις ἀεὶ παρεῖχε τοὺς πολίτας κόσμῳ τε θαυμαστοὺς καὶ προθυμίᾳ πολὺ πάντων διαφέροντας. Ἔπειτα Παυσανίου τοῖς μὲν βαρβάροις διαλεγομένου περὶ προδοσίας, καὶ βασιλεῖ γράφοντος ἐπιστολὰς, τοῖς δὲ συμμάχοις τραχέως καὶ αὐθαδῶς προσφερομένου, καὶ πολλὰ δι' ἐξουσίαν καὶ ὄγκον ἀνόητον ὑβρίζοντος, ὑπολαμβάνων[15] πρᾴως τοὺς ἀδικουμένους, καὶ φιλανθρώπως ἐξομιλῶν, ἔλαθεν οὐ δι' ὅπλων τὴν Ἑλλάδος ἡγεμονίαν, ἀλλὰ

8°. ὁρμήσαντα *engaging with zeal in political life.*—9°. *satiated, weary of Themistocles.*—10°. for μάλιστα.—11°. for ὁρῶν τὴν εὐφυΐαν τὴν ἐν τῷ ἤθει.—12°. a figure borrowed from the games, in which antagonists of equal strength were matched together.—13°. Μήδων instead of Περσῶν. The names are often interchanged.—14°. *the general command,* ἡγεμονία.—15°. that is, Κίμων.

λόγῳ καὶ ἤθει παρελόμενος.[16] Προςετίθεντο γὰρ οἱ πλεῖστοι τῶν συμμάχων ἐκείνῳ τε καὶ Ἀριστείδῃ, τὴν χαλεπότητα τοῦ Παυσανίου καὶ ὑπεροψίαν μὴ φέροντες.

Κίμων δὲ, τῶν συμμάχων ἤδη προςκεχωρηκότων αὐτῷ, στρατηγὸς εἰς Θρᾴκην ἔπλευσεν, πυνθανόμενος, Περσῶν ἄνδρας ἐνδόξους καὶ συγγενεῖς βασιλέως, Ἠϊόνα πόλιν, ἐπὶ τῷ Στρύμονι κειμένην ποταμῷ, κατέχοντας, ἐνοχλεῖν τοῖς περὶ τὸν τόπον ἐκεῖνον Ἕλλησιν. Πρῶτον μὲν οὖν μάχῃ τοὺς Πέρσας αὐτοὺς ἐνίκησε, καὶ κατέκλεισεν εἰς τὴν πόλιν. Ἔπειτα τοὺς ὑπὲρ Στρυμόνα Θρᾷκας, ὅθεν[17] αὐτοῖς ἐφοίτα σῖτος, ἀναςάτους ποιῶν, καὶ τὴν χώραν παραφυλάττων ἅπασαν, εἰς τοσαύτην ἀπορίαν τοὺς πολιορκουμένους[18] κατέστησεν, ὥςτε Βούτην, τὸν βασιλέως στρατηγὸν, ἀπογνόντα τὰ πράγματα, τῇ πόλει πῦρ ἐνεῖναι, καὶ συνδιαφθεῖραι μετὰ τῶν φίλων καὶ τῶν χρημάτων ἑαυτόν. Οὕτω δὲ λαβὼν τὴν πόλιν, ἄλλο μὲν οὐδὲν ἄξιον λόγου ὠφελήθη,[19] τῶν πλείστων τοῖς βαρβάροις συγκατακαέντων· τὴν δὲ χώραν, εὐφυεστάτην οὖσαν καὶ καλλίςην, οἰκῆσαι παρέδωκε τοῖς Ἀθηναίοις.

Ἤδη δ' εὐπορῶν ὁ Κίμων, ἐφόδια τῆς στρατηγίας, ἃ καλῶς[20] ἀπὸ τῶν πολεμίων ἔδοξεν ὠφελῆσθαι, κάλλιον ἀνήλισκεν εἰς τοὺς πολίτας. Τῶν τε γὰρ ἀγρῶν τοὺς φραγμοὺς ἀφεῖλεν,[21] ἵνα καὶ τοῖς ξένοις καὶ τῶν πολιτῶν τοῖς δεομένοις ἀδεῶς ὑπάρχῃ λαμβάνειν τῆς ὀπώρας· καὶ δεῖπνον οἴκοι παρ' αὐτῷ, λιτὸν μὲν, ἀρκοῦν δὲ πολλοῖς, ἐποιεῖτο καθ' ἡμέραν· ἐφ' ὃ[22] τῶν πενήτων ὁ

16°. ἔλαβεν παρελόμενος, Gram. § 145. Rem. 5. p. 297.—17°. *whence:* the antecedent of this relative adverb is Θρᾷκας, as *whence* in English may have for its antecedent either persons or things.—18°. that is, the Persians shut up in Eïon.—19°. ὠφελεῖσθαί τι is *to profit by a thing:* πλείστων agrees with χρημάτων.—20°. *honorably* gained in war.—21°. He removed the fences from his fields.—22°. that is, δεῖπνον· Cimon provided a table at his house for the poor citizens, that they might live without working, and be able to devote themselves exclusively to politics.

βουλόμενος εἰςῄει, καὶ διατροφὴν εἶχεν ἀπράγμονα, μόνοις τοῖς δημοσίοις σχολάζων. Ὡς δ' Ἀριστοτέλης φησὶν, οὐχ ἁπάντων Ἀθηναίων, ἀλλὰ τῶν δημοτῶν αὐτοῦ Λακιαδῶν[23] *παρεσκευάζετο τῷ βουλομένῳ τὸ δεῖπνον. Αὐτῷ δὲ νεανίσκοι παρείποντο συνήθως δύο, ἢ τρεῖς, ἀμπεχόμενοι καλῶς· ὧν ἕκαστος, εἴ τις συντύχοι τῷ Κίμωνι τῶν ἀστῶν πρεσβύτερος, ἠμφιεσμένος ἐνδεῶς, διημείβετο πρὸς αὐτὸν τὰ ἱμάτια.*[24] *Καὶ τὸ γινομενον ἐφαίνετο σεμνόν. Οἱ δ' αὐτοὶ καὶ νόμισμα κομίζοντες ἄφθονον, παριστάμενοι τοῖς κομψοῖς*[25] *τῶν πενήτων ἐν ἀγορᾷ, σιωπῇ τῶν κερματίων ἐνέβαλλον εἰς τὰς χεῖρας.*

Τοῦ μεγάλου βασιλέως οὐδεὶς ἐταπείνωσε καὶ συνέστειλε τὸ φρόνημα μᾶλλον ἢ Κίμων. Οὐ γὰρ ἀνῆκεν ἐκ τῆς Ἑλλάδος ἀπηλλαγμένον, ἀλλ' ὥςπερ ἐκ ποδὸς διώκων, πρὶν διαπνεῦσαι καὶ στῆναι τοὺς βαρβάρους, τὰ μὲν ἐπόρθει καὶ κατεστρέφετο, τὰ δ' ἀφίστη καὶ προςήγετο τοῖς Ἕλλησιν,[26] *ὥστε τὴν ἀπ' Ἰωνίας Ἀσίαν ἄχρι Παμφυλίας παντάπασι Περσικῶν ὅπλων ἐρημῶσαι.*

Ἦρχε μὲν τῶν βασιλικῶν νεῶν Τιθραύστης, τοῦ δὲ πεζοῦ, ὡς μὲν Ἔφορος[27] *λέγει, Φερενδάτης. Καλλισθένης*[27] *δὲ Ἀριομάνδην τὸν Γωβρύου φησὶ κυριώτατον ὄντα τῆς δυνάμεως, παρὰ τὸν Εὐρυμέδοντα ταῖς ναυσὶ παρορμεῖν, οὐκ ὄντα μάχεσθαι τοῖς Ἕλλησι πρόθυμον, ἀλλὰ προςδεχόμενον ὀγδοήκοντα ναῦς Φοινίσσας ἀπὸ*

23°. According to Aristotle, Cimon provided these public suppers, not for all the Athenians, but for the members of his own tribe, the Lacian.—24°. The outer garment, being a simple cloak, was easily removed.—25°. *the more respectable of the poor*: for *κερματίων*, see Gram. § 132. 3. b). (3). p. 267.—26°. *for he did not so much send him routed from Greece, but pursuing him closely, before the barbarians could rest and halt, he sacked and subverted*, &c.—27°. Ephorus and Callisthenes, celebrated historical writers: their works are now lost.

Κύπρου προςπλεούσας. Ταύτας φθῆναι βουλόμενος ὁ Κίμων ἀνήχθη, βιάζεσθαι παρεσκευασμένος, ἂν ἑκόντες μὴ ναυμαχῶσιν. Οἱ δὲ πρῶτον μὲν, ὡς μὴ βιασθεῖεν, εἰς τὸν ποταμὸν εἰςωρμίσαντο, προςφερομένων δὲ τῶν Ἀθηναίων ἀντεξέπλευσαν, ὡς ἱστορεῖ Φανόδημος, ἑξακοσίαις ναυσὶν, ὡς δ' Ἔφορος, πεντήκοντα καὶ τριακοσίαις. Ἔργον δὲ κατὰ γοῦν τὴν θάλασσαν οὐδὲν ὑπ' αὐτῶν ἐπράχθη τῆς δυνάμεως ἄξιον, ἀλλ' εὐθὺς εἰς τὴν γῆν ἀποστρέφοντες, ἐξέπιπτον[28] *οἱ πρῶτοι, καὶ κατέφευγον εἰς τὸ πεζὸν ἐγγὺς παρατεταγμένον· οἱ δὲ καταλαμβανόμενοι διεφθείροντο μετὰ τῶν νεῶν.*

Τῶν δὲ πεζῶν ἐπικαταβάντων πρὸς τὴν θάλασσαν, μέγα μὲν ἔργον ἐφαίνετο τῷ Κίμωνι τὸ βιάζεσθαι τὴν ἀπόβασιν,[29] *καὶ κεκμηκότας ἀκμῆσι καὶ πολλαπλασίοις ἐπάγειν τοὺς Ἕλληνας· ὅμως δὲ ῥώμῃ καὶ φρονήματι τοῦ κρατεῖν ὁρῶν ἐπηρμένους καὶ προθύμους ὁμόσε χωρεῖν τοῖς βαρβάροις, ἀπεβίβαζε τοὺς ὁπλίτας ἔτι θερμοὺς τῷ κατὰ τὴν ναυμαχίαν ἀγῶνι, μετὰ κραυγῆς καὶ δρόμου προςφερομένους. Ὑποστάντων δὲ τῶν Περσῶν καὶ δεξαμένων*[30] *οὐκ ἀγεννῶς, κρατερὰ μάχη συνέστη· καὶ τῶν Ἀθηναίων ἄνδρες ἀγαθοὶ καὶ τοῖς ἀξιώμασι πρῶτοι καὶ διαπρεπεῖς ἔπεσον· πολλῷ δ' ἀγῶνι τρεψάμενοι τοὺς βαρβάρους ἔκτεινον, εἶτα ᾕρουν αὐτούς τε καὶ σκηνὰς παντοδαπῶν χρημάτων γεμούσας. Κίμων δ', ὥσπερ ἀθλητὴς δεινὸς, ἡμέρᾳ μιᾷ δύο καθῃρηκὼς ἀγωνίσματα, καὶ τὸ μὲν ἐν Σαλαμῖνι πεζομαχίᾳ, τὸ δ' ἐν Πλαταιαῖς ναυμαχίᾳ παρεληλυθὼς τρόπαιον,*[31] *ἐπηγωνίσατο*[32] *ταῖς νίκαις, καὶ τὰς ὀγδοήκοντα Φοινίσ-*

28°. *they escaped.*—29°. *It seemed to Cimon an arduous undertaking to force a landing.*—30°. *τοὺς Ἕλληνας* understood.—31°. *παρεληλυθὼς* equivalent to *ὑπερβαλλόμενος*, and *τρόπαιον* to *νίκην*.—32°. *added yet another combat.*

σας τριήρεις, αἳ τῆς μάχης ἀπελείφθησαν, Ὕδρῳ προσβεβληκέναι πυθόμενος, διὰ τάχους ἔπλευσεν· οὐδὲν εἰδότων βέβαιον οὔπω περὶ τῆς μείζονος δυνάμεως τῶν στρατηγῶν,[33] ἀλλὰ δυσπίστως ἤδη καὶ μετεώρως ἐχόντων· ᾗ καὶ μᾶλλον ἐκπλαγέντες, ἀπώλεσαν τὰς ναῦς ἁπάσας, καὶ τῶν ἀνδρῶν οἱ πλεῖστοι συνδιαφθάρησαν.

Τοῦτο τὸ ἔργον οὕτως ἐταπείνωσε τὴν γνώμην τοῦ βασιλέως, ὥστε συνθέσθαι τὴν περιβόητον εἰρήνην ἐκείνην, ἵππου μὲν δρόμον[34] ἀεὶ τῆς Ἑλληνικῆς ἀπέχειν θαλάσσης, ἔνδον δὲ Κυανέων καὶ Χελιδονίων[35] μακρᾷ νηῒ καὶ χαλκεμβόλῳ μὴ πλέειν.

VI.

ALCIBIADES.

Passages from the Life of Alcibiades.

Το τοῦ Ἀλκιβιάδου ἦθος πολλὰς ἀνομοιότητας πρὸς αὑτὸ καὶ μεταβολὰς ἐπεδείξατο. Φύσει δὲ πολλῶν ὄντων καὶ μεγάλων παθῶν ἐν αὐτῷ, τὸ φιλόνεικον ἰσχυρότατον ἦν, καὶ τὸ φιλόπρωτον, ὡς δῆλόν ἐστι τοῖς παιδικοῖς ἀπομνημονεύμασιν. Ἐν μὲν γὰρ τῷ παλαίειν πιεζούμενος, ὑπὲρ τοῦ μὴ πεσεῖν, ἀναγαγὼν πρὸς τὸ στόμα τὰ ἅμματα[1] τοῦ πιέζοντος, οἷος ἦν[2] διαφαγεῖν τὰς χεῖρας. Ἀφέντος δὲ τὴν λαβὴν ἐκείνου, καὶ εἰπόντος, Δάκνεις, ὦ Ἀλκιβιάδη, καθάπερ αἱ γυναῖκες· Οὐκ ἔγωγε, εἶπεν, ἀλλ' ὡς οἱ λέοντες.

Ἔτι δὲ μικρὸς ὢν ἔπαιζεν ἀστραγάλοις ἐν τῷ στενωπῷ. Τῆς δὲ βολῆς καθηκούσης εἰς αὐτὸν, ἅμαξα

33°. τῶν νεῶν.—34°. four hundred stadia, according to the computation of Plutarch, at the end of the life of Cimon.—35°. The *Cyanean* rocks were at the entrance of the Black sea, and the *Chelidonian* opposite the south coast of Lycia.

1°. τὰ ἅμματα, a technical term in wrestling, signifying the opponent's arms around the neck.—2°. See Viger, p. 121.

φορτίων ἐπῄει. Πρῶτον μὲν οὖν ἐκέλευε περιμεῖναι τὸν ἄγοντα τὸ ζεῦγος· ὑπέπιπτε γὰρ ἡ βολὴ τῇ παρόδῳ τῆς ἁμάξης.[3] Μὴ πειθομένου[4] δὲ δι' ἀγροικίαν, ἀλλ' ἐπάγοντος, οἱ μὲν ἄλλοι παῖδες διέσχον, ὁ δ' Ἀλκιβιάδης καταβαλὼν[5] ἐπὶ στόμα πρὸ τοῦ ζεύγους, καὶ παρατείνας ἑαυτὸν, ἐκέλευεν οὕτως, εἰ βούλεται, διεξελθεῖν· ὥςτε τὸν μὲν ἄνθρωπον ἀνακροῦσαι τὸ ζεῦγος ὀπίσω, δείσαντα, τοὺς δ' ἰδόντας ἐκπλαγῆναι καὶ μετὰ βοῆς συνδραμεῖν πρὸς αὐτόν.

Ἐπεὶ δ' εἰς τὸ μανθάνειν ἧκε, τοῖς μὲν ἄλλοις ὑπήκουε διδασκάλοις ἐπιεικῶς, τὸ δ' αὐλεῖν ἔφευγεν ὡς ἀγεννὲς καὶ ἀνελεύθερον. Πλήκτρου μὲν γὰρ καὶ λύρας χρῆσιν οὐδὲν οὔτε σχήματος οὔτε μορφῆς ἐλευθέρῳ πρεπούσης διαφθείρειν,[6] αὐλὸς δὲ φυσῶντος ἀνθρώπου ςόματι καὶ τοὺς συνήθεις ἂν πάνυ μόλις διαγνῶναι τὸ πρόςωπον.[7] Ἔτι δὲ τὴν μὲν λύραν τῷ χρωμένῳ συμφθέγγεσθαι καὶ συνᾴδειν,[8] τὸν δ' αὐλὸν ἐπιστομίζειν καὶ ἀποφράττειν τὸ στόμα, ἑκάστου τήν τε φωνὴν καὶ τὸν λόγον ἀφαιρούμενον. Αὐλείτωσαν οὖν, ἔφη, Θηβαίων παῖδες· οὐ γὰρ ἴσασι διαλέγεσθαι·[9] ἡμῖν δὲ τοῖς Ἀθηναίοις, ὡς οἱ πατέρες λέγουσιν, ἀρχηγέτις Ἀθηνᾶ καὶ πατρῷος Ἀπόλλων ἐςίν· ὧν ἡ μὲν ἔῤῥιψε τὸν αὐλὸν, ὁ δὲ καὶ τὸν αὐλητὴν[10] ἐξέδειρε. Τοιαῦτα παίζων ἅμα καὶ σπουδάζων ὁ Ἀλκιβιάδης αὑτόν τε τοῦ μαθήματος ἀπέστησε καὶ τοὺς ἄλλους. Ταχὺ γὰρ διῆλθεν ὁ λόγος εἰς τοὺς παῖδας, ὡς εὖ ποιῶν ὁ Ἀλκιβιάδης βδελύτ-

---

3°. the path which the car must take.—4°. *ἀνθρώπου* understood.—5°. *ἑαυτὸν* understood.—6°. *ἔλεγε* understood.—7°. The construction is, *αὐλοὺς δὲ φυσῶντος ἀνθρώπου, τῷ στόματι τὸ πρόσωπον καὶ* (*even*) *τοὺς συνήθεις πάνυ μόλις διαγνῶναι ἄν*.—8°. he also said, *that the lyre spoke and sang with him who used it*.—9°. The Bœotians were derided by the Athenians, as inferior in capacity.—10°. Marsyas, who found the pipes which Minerva had cast away and challenged Apollo to a trial of musical skill with him.

τοιτο τὴν αὐλητικὴν, καὶ χλευάζοι τοὺς μανθάνοντας· ὅθεν ἐξέπεσε[11] κομιδῇ τῶν ἐλευθέρων διατριβῶν,[12] καὶ προεπηλακίσθη παντάπασιν ὁ αὐλός.

Περικλεῖ ποτε βουλόμενος ἐντυχεῖν, ἐπὶ θύρας ἦλθεν αὐτοῦ. Πυθόμενος δὲ μὴ σχολάζειν, ἀλλὰ σκοπεῖν καθ' ἑαυτὸν,[13] ὅπως ἀποδώσει λόγον Ἀθηναίοις, ἀπιὼν ὁ Ἀλκιβιάδης, Εἶτα, ἔφη, βέλτιον οὐκ ἦν σκοπεῖν αὐτὸν, ὅπως οὐκ ἀποδώσει λόγον Ἀθηναίοις;

Ἔτι δὲ μειράκιον ὢν, ἐστρατεύσατο τὴν εἰς Ποτίδαιαν στρατεῖαν,[14] καὶ Σωκράτη σύσκηνον εἶχε, καὶ παραστάτην ἐν τοῖς ἀγῶσιν. Ἰσχυρᾶς δὲ γενομένης μάχης, ἠρίστευσαν μὲν ἀμφότεροι· τοῦ δ' Ἀλκιβιάδου τραύματι περιπεσόντος,[15] ὁ Σωκράτης προέστη καὶ ἤμυνε, καὶ μάλιστα δὴ προδήλως ἔσωσεν αὐτὸν μετὰ τῶν ὅπλων.[16] Ἐγίνετο μὲν οὖν τῷ δικαιοτάτῳ λόγῳ Σωκράτους τὸ ἀριστεῖον· ἐπεὶ δὲ οἱ στρατηγοὶ διὰ τὸ ἀξίωμα τῷ Ἀλκιβιάδῃ σπουδάζοντες ἐφαίνοντο περιθεῖναι[17] τὴν δόξαν, ὁ Σωκράτης βουλόμονος αὔξεσθαι τὸ φιλότιμον ἐν τοῖς καλοῖς[18] αὐτῷ πρῶτος ἐμαρτύρει καὶ παρεκάλει στεφανοῦν ἐκεῖνον καὶ διδόναι τὴν πανοπλίαν.[19]

Πρώτην δ' αὐτῷ πάροδον εἰς τὸ δημόσιον γενέσθαι λέγουσι μετὰ χρημάτων ἐπιδόσεως,[20] οὐκ ἐκ παρασκευῆς, ἀλλὰ παριόντα, θορυβούντων Ἀθηναίων, ἐρέσθαι τὴν αἰτίαν τοῦ θορύβου· πυθόμενον δὲ χρημάτων ἐπίδοσιν γενέσθαι, παρελθεῖν καὶ ἐπιδοῦναι· τοῦ δὲ δήμου κρο-

---

11°. *ἐξέπεσε*, a technical expression used of players who were hissed from the stage. It is here synonymous with *ἐξεβλήθη*.—12°. *τῶν ἐλευθέρων διατριβῶν*, *liberal pursuits*.—13°. See Viger, p. 633.—14°. See above, p. 177, note 2.—15°. *τραύματα περιπεσόντος* is equivalent to *τρωθέντος*.—16°. whereby he escaped the disgrace of losing his shield.—17°. a tropical expression taken from the act of *crowning*.—18°. *in what was honorable*.—19°. the armor of which the prize of bravery consisted.—20°. *ἐπίδοσις*, a voluntary contribution to the state.

τοῦντος καὶ βοῶντος, ὑφ᾽ ἡδονῆς ἐπιλαθέσθαι τοῦ ὄρτυγος, ὃν ἐτύγχανεν ἔχων ἐν τῷ ἱματίῳ.[21] Πτοηθέντος οὖν καὶ διαφυγόντος, ἔτι μᾶλλον ἐκβοῆσαι τοὺς Ἀθηναίους, πολλοὺς καὶ συνθηρᾶν ἀναστάντας, λαβεῖν δ᾽ αὐτὸν Ἀντίοχον τὸν κυβερνήτην, καὶ ἀποδοῦναι· διὸ καὶ προσφιλέστατον τῷ Ἀλκιβιάδῃ γενέσθαι.

Αἱ δ᾽ ἱπποτροφίαι περιβόητοι μὲν ἐγένοντο καὶ τῷ πλήθει τῶν ἁρμάτων·[22] ἑπτὰ γὰρ ἄλλος οὐδεὶς καθῆκεν Ὀλυμπιάσιν[23] ἰδιώτης, οὐδὲ βασιλεὺς μόνος δ᾽ ἐκεῖνος. Καὶ τὸ νικῆσαι δὲ καὶ δεύτερον γενέσθαι καὶ τέταρτον, ὡς Θουκυδίδης φησὶν,[24] ὁ δ᾽ Εὐριπίδης, τρίτον, ὑπερβάλλει λαμπρότητι καὶ δόξῃ πᾶσαν τὴν ἐν τούτοις φιλοτιμίαν. Λέγει δ᾽ ὁ Εὐριπίδης ἐν τῷ ᾄσματι[25] ταῦτα· Σὲ δ᾽ ἀείσομαι, ὦ Κλεινίου παῖ· καλὸν[26] ἁ νίκα· κάλλιστον δ᾽, (ὃ μηδεὶς ἄλλος Ἑλλάνων,[37]) ἅρματι πρῶτα δραμεῖν, καὶ δεύτερα καὶ τρίτα.

Ἐπεὶ δ᾽ ἀφῆκεν αὑτὸν εἰς τὴν πολιτείαν ἔτι μειράκιον ὤν, τοὺς μὲν ἄλλους εὐθὺς ἐταπείνωσε δημαγωγοὺς, ἀγῶνα δ᾽ εἶχε πρός τε Φαίακα τὸν Ἐρασιστράτου, καὶ Νικίαν τὸν Νικηράτου· τὸν μὲν, ἤδη καθ᾽ ἡλικίαν προήκοντα, καὶ στρατηγὸν ἄριστον εἶναι δοκοῦντα· Φαίακα δ᾽ ἀρχόμενον, ὥσπερ αὐτὸς, αὐξάνεσθαι[28] τότε, καὶ γνωρίμων ὄντα πατέρων, ἐλαττούμενον δὲ τοῖς τ᾽ ἄλλοις καὶ περὶ τὸν λόγον.[29] Ἐντευκτικὸς γὰρ ἰδίᾳ καὶ

21°. *Quails* were, like cocks, trained to fight.—22°. *his zeal in the rearing of horses for the games* (ἱπποτροφίαι) *was famous, especially* (καὶ) *in the number of cars*, or spans.—23°. *at the Olympic games.*—24°. See Thucyd. vi. 16. —25°. in a triumphal song on the victories of Alcibiades.—26°. The adjective here is in the neuter gender on the principle of Gram. § 129. 2. p. 261; ἐστὶ is understood.—27°. ἁ νίκα, for ἡ νίκη, and Ἑλλάνων are Doric forms, used often by the Attic lyric poets. See Gram. § 1. 11. p. 4.—28°. that is, δόξᾳ *to increase in fame.*—29°. *in speaking.*

πιθανὸς ἐδόκει μᾶλλον, ἢ φέρειν ἀγῶνας[30] ἐν δήμῳ δυνατός. Ἦν γάρ, ὡς Εὔπολίς[31] φησι,

Λαλεῖν ἄριστος, ἀδυνατώτατος λέγειν.

Ἦν δέ τις Ὑπέρβολος Περιθοίδης,[32] οὗ μέμνηται μὲν ὡς ἀνθρώπου πονηροῦ καὶ Θουκυδίδης, τοῖς δὲ κωμικοῖς ὁμοῦ τι[33] πᾶσι διατριβὴν, ἀεὶ σκωπτόμενος ἐν τοῖς θεάτροις, παρεῖχεν.[34] Ἄτρεπτος δὲ πρὸς τὸ κακῶς ἀκούειν καὶ ἀπαθὴς ὢν, ὀλιγωρίᾳ δόξης, οὐδενὶ μὲν ἤρεσκεν, ἐχρῆτο δ' αὐτῷ πολλάκις ὁ δῆμος, ἐπιθυμῶν[35] προπηλακίζειν τοὺς ἐν ἀξιώματι καὶ συκοφαντεῖν. Ἀναπεισθεὶς οὖν ὑπ' αὐτοῦ τότε, τὸ ὄστρακον ἐπιφέρειν ἔμελλεν,[36] ᾧ κολούοντες ἀεὶ τὸν προὔχοντα δόξῃ καὶ δυνάμει τῶν πολιτῶν ἐλαύνουσι, παραμυθούμενοι[37] τὸν φθόνον μᾶλλον ἢ τὸν φόβον. Ἐπεὶ δὲ δῆλον ἦν, ὅτι ἑνὶ τῶν τριῶν[38] τὸ ὄστρακον ἐποίσουσι, συνήγαγε τὰς στάσεις[39] εἰς ταὐτὸν ὁ Ἀλκιβιάδης, καὶ διαλεχθεὶς πρὸς τὸν Νικίαν, κατ' αὐτοῦ τοῦ Ὑπερβόλου τὴν ὀστρακοφορίαν ἔτρεψεν.

VII.

ALCIBIADES.

Death of Alcibiades.

Ἀθηναῖοι χαλεπῶς μὲν ἔφερον τῆς ἡγεμονίας ἀποστερηθέντες.[1] Ἐπεὶ δὲ καὶ τὴν ἐλευθερίαν ἀφελόμενος αὐτῶν ὁ Λύσανδρος, ἀνδράσι τριάκοντα παρέδωκε τὴν πόλιν, οἷς οὐκ ἐχρήσαντο σώζεσθαι δυνάμενοι λογισμοῖς,

---

30°. *public contests* in the forum.—31°. Eupolis, an ancient comedian: λαλεῖν and λέγειν are opposed to each other; as Pliny in like manner says, *aliud esse eloquentiam, aliud loquentiam.*—32°. Perithœdæ was one of the Attic δῆμοι.—33°. See above, p. 186. note 15.—34°. Hyperbolus, *constantly derided in the theatre, afforded sport to almost all the comedians.*—35°. that is, ὅτι ἐπιθυμοίη.—36°. ὁ δῆμος.—37°. *soothing*, hence, *diminishing.*—38°. either Nicias, Phæax, or Alcibiades.—39°. *the parties.*

1°. participle in the nominative. Gram. § 145. 4. a). p. 296.

ἀπολωλότων ἤδη τῶν πραγμάτων, συνίεσαν, ὀλοφυρόμενοι καὶ διεξιόντες τὰς ἁμαρτίας αὐτῶν καὶ ἀγνοίας·[2] ὧν μεγίστην ἐποιοῦντο τὴν δευτέραν πρὸς Ἀλκιβιάδην ὀργήν.[3] Ἀπεῤῥίφη γὰρ οὐδὲν ἀδικῶν αὐτὸς, ἀλλ' ὑπηρέτῃ[4] χαλεπήναντες ὀλίγας ἀποβαλόντι ναῦς αἰσχρῶς, αἴσχιον αὐτοὶ τὸν κράτιστον καὶ πολεμικώτατον ἀφείλοντο τῆς πόλεως στρατηγόν. Ἔτι δ' οὖν ὅμως ἐκ τῶν παρόντων ἀνέφερέ τις ἐλπὶς ἀμυδρὰ, μὴ παντάπασιν ἐῤῥειν τὰ πράγματα τῶν Ἀθηναίων, Ἀλκιβιάδου περιόντος. Οὔτε γὰρ πρότερον ἠγάπησε φεύγων[5] ἀπραγμόνως ζῆν καὶ μεθ' ἡσυχίας, οὔτε νῦν, εἰ τὰ καθ' ἑαυτὸν ἱκανῶς ἔχοι, περιόψεται Λακεδαιμονίους ὑβρίζοντας, καὶ τοὺς τριάκοντα παροινοῦντας. Ταῦτα δ' οὐκ ἦν ἄλογον ὀνειροπολεῖν οὕτως τοὺς πολλοὺς, ὁπότε καὶ τοῖς τριάκοντα φροντίζειν ἐπῄει[6] καὶ διαπυνθάνεσθαι, καὶ λόγον ἔχειν πλεῖστον ὧν[7] ἐκεῖνος ἔπραττε καὶ διενοεῖτο. Τέλος δὲ Κριτίας ἐδίδασκε Λύσανδρον, ὡς[8] οὐκ ἔσται, Ἀθηναίων δημοκρατουμένων, ἀσφαλῶς ἄρχειν Λακεδαιμονίοις τῆς Ἑλλάδος· Ἀθηναίους δὲ, κἂν πράως πάνυ καὶ καλῶς πρὸς ὀλιγαρχίαν ἔχωσιν, οὐκ ἐάσει ζῶν Ἀλκιβιάδης ἀτρεμεῖν ἐπὶ τῶν καθεστώτων.[9] Οὐ μὴν ἐπείσθη γε πρότερον τούτοις ὁ Λύσανδρος, ἢ παρὰ τῶν

2°. The sense of this sentence may be seen in the following paraphrase: ἀπολωλότων ἤδη τῶν πραγμάτων (τῆς πόλεως δουλωθείσης) λογισμοῖς χρησάμενοι, οἷς πάλαι, ὅτε σώζεσθαι ἔτι ἐδύναντο, οὐκ ἐχρήσαντο, συνίεσαν ἤδη τὰς αὐτῶν ἁμαρτίας.—3°. Alcibiades, after his first banishment, had been placed in command of the navy. He was deprived of the place, because he had failed to fulfil all the expectations of the people, and thereupon betook himself to Bisanthe in Thrace.—4°. ὑπηρέτῃ, Antiochus, who in the absence of Alcibiades, and against his order, engaged the Spartan fleet and suffered a defeat.—5°. πρότερον φεύγων, for ἐν τῇ πρότερον φυγῇ.—6°. ἐπῄει equivalent to εἰσῆλθε.—7°. ὧν, *Attraction*, Gram. § 144. 3. p. 293.—8°. The construction is, ὡς οὐκ ἔσται (ἔξεσται) Λακεδαιμονίοις ἀσφαλῶς ἄρχειν τῆς Ἑλλάδος, Ἀθηναίων δημοκρατουμένων.—9°. τὰ καθεστῶτα, *the existing organization.*

οἴκοι τελῶν[10] σκυτάλην ἐλθεῖν, κελεύουσαν ἐκποδὼν ποιήσασθαι τὸν Ἀλκιβιάδην· εἴτε κἀκείνων[11] φοβηθέντων τὴν ὀξύτητα καὶ μεγαλοπραγμοσύνην τοῦ ἀνδρὸς, εἴτε τῷ Ἄγιδι[12] χαριζομένων.

Ὡς οὖν ὁ Λύσανδρος ἔπεμψε πρὸς τὸν Φαρνάβαζον[13] ταῦτα πράττειν κελεύων, ὁ δε Μαγαίῳ τε τῷ ἀδελφῷ καὶ Σουσαμίθρῃ τῷ θείῳ προςέταξε τὸ ἔργον, ἔτυχε μὲν ἐν κώμῃ τινὶ τῆς Φρυγίας ὁ Ἀλκιβιάδης τότε διαιτώμενος ἔχων Τιμάνδραν μετ' αὐτοῦ τὴν ἑταίραν.—Οἱ δὲ πεμφθέντες πρὸς αὐτὸν οὐκ ἐτόλμησαν εἰςελθεῖν, ἀλλὰ κύκλῳ τὴν οἰκίαν περιςάντες ἐνεπίμπρασαν. Αἰσθόμενος δ' ὁ Ἀλκιβιάδης, τῶν μὲν ἱματίων τὰ πλεῖστα καὶ τῶν στρωμάτων συναγαγὼν, ἐπέῤῥιψε τῷ πυρί. Τῇ δ' ἀριστερᾷ χειρὶ τὴν ἑαυτοῦ χλαμύδα περιελίξας, τῇ δὲ δεξιᾷ σπασάμενος τὸ ἐγχειρίδιον, ἐξέπεσεν[14] ἀπαθὴς ὑπὸ τοῦ πυρὸς, πρὶν ἢ διαφλέγεσθαι τὰ ἱμάτια,[15] καὶ τοὺς βαρβάρους ὀφθεὶς διεσκέδασεν. Οὐδεὶς γὰρ ὑπέμεινεν αὐτὸν, οὐδ' εἰς χεῖρας συνῆλθεν, ἀλλ' ἀποστάντες ἔβαλλον ἀκοντίοις καὶ τοξεύμασιν. Οὕτω δ' αὐτοῦ πεσόντος, καὶ τῶν βαρβάρων ἀπελθόντων, ἡ Τιμάνδρα τὸν νεκρὸν ἀνείλετο, καὶ τοῖς αὐτῆς περιβαλοῦσα καὶ περικαλύψασα χιτωνίσκοις, ἐκ τῶν παρόντων[16] ἐκήδευσε λαμπρῶς καὶ φιλοτίμως.

10°. τελῶν, *the magistrates.*—11°. κἀκείνων, that is, τῶν τελῶν.—12° *Agis*, the personal enemy of Alcibiades, and king of Sparta.—13° Pharn.abazus, the Persian governor in Phrygia.—14°. *issued out.* See above, p. 198. note 28.—15°. which he had cast into the fire.—16°. ἐκ τῶν παρόντων, *as well as circumstances permitted.*

VIII.

PERICLES.

Beginning of the Peloponnesian War.

Ἐνέβαλον εἰς τὴν Ἀττικὴν στρατῷ μαγάλῳ Λακεδαμόνιοι μετὰ τῶν συμμάχων, Ἀρχιδάμου τοῦ βασιλέως ἡγουμένου, καὶ δῃοῦντες τὴν χώραν προῆλθον εἰς Ἀχαρνὰς,[1] *καὶ κατεστρατοπέδευσαν, ὡς*[2] *τῶν Ἀθηναίων οὐκ ἀνεξομένων, ἀλλ' ὑπ' ὀργῆς καὶ φρονήματος διαμαχουμένων πρὸς αὐτούς. Τῷ δὲ Περικλεῖ δεινὸν ἐφαίνετο πρὸς ἑξακισμυρίους Πελοποννησίων καὶ Βοιωτῶν ὁπλίτας (τοσοῦτοι γὰρ ἦσαν οἱ τὸ πρῶτον ἐμβαλόντες) ὑπὲρ αὐτῆς τῆς πόλεως μάχην συνάψαι· τοὺς δὲ βουλομένους μάχεσθαι, καὶ δυσπαθοῦντας πρὸς τὰ γενόμενα, κατεπράϋνε λέγων, ὡς δένδρα μὲν τμηθέντα καὶ κοπέντα φύεται ταχέως, ἀνδρῶν δὲ διαφθαρέντων αὖθις τυχεῖν οὐ ῥᾴδιον ἐστι. Τὸν δὲ δῆμον εἰς ἐκκλησίαν οὐ συνῆγε, δεδιὼς βιασθῆναι παρὰ γνώμην, ἀλλ' ὥσπερ νεὼς κυβερνήτης, ἀνέμου κατιόντος ἐν πελάγει, θέμενος εὖ πάντα καὶ κατατείνας τὰ ὅπλα,*[3] *χρῆται τῇ τέχνῃ, δάκρυα καὶ δεήσεις ἐπιβατῶν ναυτιώντων καὶ φοβουμένων ἐάσας,*[4] *οὕτως ἐκεῖνος, τό τ' ἄστυ συγκλείσας, καὶ καταλαβὼν πάντα φυλακαῖς πρὸς ἀσφάλειαν, ἐχρῆτο τοῖς αὑτοῦ λογισμοῖς, βραχέα φροντίζων τῶν καταβοώντων καὶ δυσχεραινόντων. Καίτοι πολλοὶ μὲν αὐτοῦ τῶν φίλων δεόμενοι προσέκειντο, πολλοὶ δὲ τῶν ἐχθρῶν ἀπειλοῦντες*

1°. Ἀχαρναί, a δῆμος of Attica near Athens.—2°. ὡς, that is, νομίζοντες τοὺς Ἀθηναίους οὐκ ἀναξομένους, &c.—3°. *the tackle* of the ship.—4°. ἐάσας, that is, ἀμελήσας.

καὶ κατηγοροῦντες· πολλοὶ δ' ᾖδον ᾄσματα καὶ σκώμματα πρὸς αἰσχύνην, ἐφυβρίζοντες αὐτοῦ τὴν στρατηγίαν, ὡς ἄνανδρον καὶ προϊεμένην τὰ πράγματα[5] τοῖς πολεμίοις. Ἐπεφύετο[6] δὲ καὶ Κλέων, ἤδη διὰ τῆς πρὸς ἐκεῖνον ὀργῆς τῶν πολιτῶν πορευόμενος ἐπὶ τὴν δημαγωγίαν.

Πλὴν ὑπ' οὐδενὸς ἐκινήθη τῶν τοιούτων ὁ Περικλῆς, ἀλλὰ πρᾴως καὶ σιωπῇ τὴν ἀδοξίαν καὶ τὴν ἀπέχθειαν ὑφιστάμενος, καὶ νεῶν ἑκατὸν ἐπὶ τὴν Πελοπόννησον στόλον ἐκπέμπων, αὐτὸς οὐ συνεξέπλευσεν, ἀλλ' ἔμεινεν οἰκουρῶν[7] καὶ διὰ χειρὸς ἔχων τὴν πόλιν, ἕως ἀπηλλάγησαν οἱ Πελοποννήσιοι. Θεραπεύων δὲ τοὺς πολλοὺς, ὅμως ἀσχάλλοντας ἐπὶ τῷ πολέμῳ, διανομαῖς τε χρημάτων ἀνελάμβανε,[8] καὶ κληρουχίας ἀνέγραφεν.[9] Αἰγινήτας γὰρ ἐξελάσας ἅπαντας, διένειμε τὴν νῆσον Ἀθηναίων τοῖς λαχοῦσιν. Ἦν δέ τις παρηγορία καὶ ἀφ' ὧν ἔπασχον οἱ πολέμιοι. Καὶ γὰρ οἱ περιπλέοντες τὴν Πελοπόννησον, χώραν τε πολλὴν, κώμας τε καὶ πόλεις μικρὰς διεπόρθησαν. Καὶ κατὰ γῆν αὐτὸς ἐμβαλὼν εἰς τὴν Μεγαρικὴν, ἔφθειρε πᾶσαν. Ἧι καὶ δῆλον ἦν, ὅτι πολλὰ μὲν δρῶντες[10] κακὰ τοὺς Ἀθηναίους, πολλὰ δὲ πάσχοντες ὑπ' ἐκείνων ἐκ θαλάσσης, οὐκ ἂν εἰς μῆκος πολέμου τοσοῦτον προὔβησαν, ἀλλὰ ταχέως ἀπεῖπον, ὥσπερ ἐξ ἀρχῆς ὁ Περικλῆς προηγόρευσεν, εἰ μή τι δαιμόνιον ὑπεναντιώθη τοῖς ανθρωπίνοις λογισμοῖς.

5°. that is, *the public property.*—6°. that is, κατήγορει. Cleon took advantage of the unpopularity of Pericles to gain an influence over the people himself.—7°. The expression is borrowed from the prudent care of the mother of a family.—8°. ἀνελάμβανε for ὠφέλει.—9°. It was the custom of the Greeks to divide the conquered lands by lot among the citizens.—10°. that is, the Peloponnesians.

XI.

PERICLES.

Death of Pericles.

Τοῦ Περικλέους ἤδη πρὸς τῷ τελευτᾷν ὄντος, περικαθήμενοι τῶν πολιτῶν οἱ βέλτιστοι, καὶ τῶν φίλων οἱ περιόντες,[1] λόγον ἐποιοῦντο τῆς ἀρετῆς καὶ τῆς δυνάμεως, ὅση γένοιτο, καὶ τὰς πράξεις ἀνεμετρουντο,[2] καὶ τῶν τροπαίων τὸ πλῆθος. Ἐννέα γὰρ ἦν ἃ στρατηγῶν καὶ νικῶν ἔστησεν ὑπὲρ τῆς πόλεως. Ταῦτα, ὡς[3] οὐκέτι συνιέντος, ἀλλὰ καθηρημένου τὴν αἴσθησιν αὐτοῦ,[4] διελέγοντο πρὸς ἀλλήλους· ὁ δὲ πᾶσιν ἐτύγχανε τὸν νοῦν προςεσχηκὼς, καὶ φθεγξάμενος εἰς μέσον, ἔφη θαυμάζειν,[5] ὅτι ταῦτα μὲν ἐπαινοῦσιν αὐτοῦ καὶ μνημονεύουσιν, ἃ καὶ πρὸς τύχην ἐστὶ κοινὰ,[6] καὶ γέγονεν ἤδη πολλοῖς στρατηγοῖς· τὸ δὲ κάλλιστον καὶ μέγιστον οὐ λέγουσιν. Οὐδεὶς γὰρ, ἔφη, δι' ἐμὲ τῶν ὄντων Ἀθηναίων μέλαν ἱμάτιον[7] περιεβάλετο.

Θαυμαστὸς οὖν ὁ ἀνὴρ οὐ μόνον τῆς ἐπιεικείας καὶ πρᾳότητος,[8] ἣν ἐν πράγμασι πολλοῖς καὶ μεγάλαις ἀπεχθείαις διετήρησεν, ἀλλὰ καὶ τοῦ φρονήματος, εἰ τῶν αὑτοῦ καλῶν ἡγεῖτο βέλτιστον εἶναι τὸ μήτε φθόνῳ, μήτε θυμῷ χαρίσασθαι μηδὲν ἀπὸ τηλικαύτης δυνάμεως, μηδὲ χρήσασθαί τινι τῶν ἐχθρῶν[9] ὡς ἀνηκέστῳ.

1°. *those who survived the plague.*—2°. *recounted.*—3°. See the like construction, p. 206. note 2.—4°. that is, *ἀναισθήτου ἤδη ὄντος.*—5°. Gram. § 142. 3. p. 290.—6°. *in which fortune has a share.*—7°. the black garment worn in mourning and on occasion of a prosecution.—8°. Gram. § 132. 5. a). p. 269.—9°. from *ἔχθρα*, not *ἐχθρός· ἔχθρα ἀνήκεστος, an irreconcilable enmity.*

X.

LYSANDER.

End of the Poloponnesian War, and the taking of Athens.

Ἐκ δὲ τούτου[1] πλέων ὁ Λύσανδρος ἐπὶ τὰς πόλεις, Ἀθηναίων μὲν οἷς ἐπιτύχοι, ἐκέλευε πάντας εἰς Ἀθήνας ἀπιέναι· φείσεσθαι[2] γὰρ οὐδενὸς, ἀλλ' ἀποσφάξειν, ὃν ἂν ἔξω λάβῃ τῆς πόλεως. Ταῦτα δ' ἔπραττε καὶ συνήλαυνεν ἅπαντας εἰς τὸ ἄστυ, βουλόμενος ἐν τῇ πόλει ταχὺ λιμὸν ἰσχυρὸν γενέσθαι καὶ σπάνιν· ὅπως μὴ πράγματα παράσχοιεν αὐτῷ τὴν πολιορκίαν εὐπόρως[3] ὑπομένοντες. Καταλύων δὲ τοὺς δήμους,[4] καὶ ἄλλας πολιτείας, ἕνα μὲν ἁρμοστὴν ἑκάστῃ Λακεδαιμόνιον κατέλιπεν, δέκα δ' ἄρχοντας ἐκ τῶν ὑπ' αὐτοῦ συγκεκροτημένων κατὰ πόλιν ἑταιριῶν.[5] Καὶ ταῦτα πράττων ὁμοίως ἔν τε ταῖς πολεμίαις καὶ ταῖς συμμάχοις γεγενημέναις πόλεσι, παρέπλει σχολαίως, τρόπον τινὰ κατασκευαζόμενος ἑαυτῷ[6] τὴν τῆς Ἑλλάδος ἡγεμονίαν. Οὔτε γὰρ ἀριστίνδην, οὔτε πλουτίνδην ἀπεδείκνυε τοὺς ἄρχοντας, ἀλλ' ἑταιρίαις καὶ ξενίαις[7] χαριζόμενος τὰ πράγματα, καὶ κυρίους ποιῶν τιμῆς τε καὶ κολάσεως, πολλαῖς δὲ παραγινόμενος αὐτὸς σφαγαῖς καὶ συνεκβάλλων τοὺς τῶν φίλων ἐχθροὺς, οὐκ ἐπιεικὲς ἐδίδου τοῖς Ἕλλησι δεῖγμα τῆς Λακεδαιμονίων ἀρχῆς. Ἀλλὰ καὶ[8] ὁ κωμικὸς Θεόπομπος ἔοικε ληρεῖν, ἀπεικάζων τοὺς

1°. after the battle at Ægospotamos in which Lysander, in the twenty-sixth year of the Peloponnesian war, wholly destroyed the fleet of the Athenians. 2°. λέγων understood.—3°. εὐπόρως, that is, *πάντα τὰ ἐπιτήδεια ἔχοντες*.—4°. the democratical forms of government.—5°. the political associations which he had mustered together.—6°. ἑαυτῷ, emphatically, *for himself*, not for the Lacedæmonians.—7°. the associations or clubs alluded to above.—8°. *ἀλλὰ καὶ*, *but rather; on the contrary.*

Λακεδαιμονίους ταῖς καπηλίσιν, ὅτι τοὺς Ἕλληνας ἥδιστον ποτὸν τῆς ἐλευθερίας γεύσαντες, ὄξος ἐνέχεαν.[9] Εὐθὺς γὰρ ἦν τὸ γεῦμα δυσχερὲς καὶ πικρὸν, οὔτε τοὺς δήμους κυρίους τῶν πραγμάτων ἐῶντος εἶναι τοῦ Λυσάνδρου, καὶ τῶν ὀλίγων τοῖς θρασυτάτοις καὶ φιλονεικοτάτοις τὰς πόλεις ἐγχειρίζοντος.

Διατρίψας δὲ περὶ ταῦτα χρόνον οὐ πολὺν, καὶ προπέμψας εἰς Λακεδαίμονα τοὺς ἀπαγγελοῦντας, ὅτι προσπλεῖ μετὰ νεῶν διακοσίων, συνέμιξε περὶ τὴν Ἀττικὴν Ἄγιδι καὶ Παυσανίᾳ, τοῖς βασιλεῦσιν, ὡς ταχὺ συναιρήσων[10] τὴν πόλιν. Ἐπεὶ δ' ἀντεῖχον οἱ Ἀθηναῖοι, λαβὼν τὰς ναῦς πάλιν εἰς Ἀσίαν διεπέρασε, καὶ τῶν μὲν ἄλλων πόλεων ὁμαλῶς ἁπασῶν κατέλυε τὰς πολιτείας, καὶ καθίστη δεκαδαρχίας, πολλῶν μὲν ἐν ἑκάστῃ σφαττομένων, πολλῶν δὲ φευγόντων· Σαμίους δὲ πάντας ἐκβαλὼν, παρέδωκε τοῖς φυγάσι[11] τὰς πόλεις. —Ἤδη δὲ τοὺς ἐν ἄστει κακῶς ἔχειν ὑπὸ λιμοῦ πυνθανόμενος, κατέπλευσεν εἰς τὸν Πειραιᾶ· καὶ παρεστήσατο[12] τὴν πόλιν, ἀναγκασθεῖσαν ἐφ' οἷς ἐκεῖνος ἐκέλευε, ποιήσασθαι τὰς διαλύσεις.

Ὁ δ' οὖν Λύσανδρος, ὡς παρέλαβε τάς τε ναῦς ἁπάσας, πλὴν δώδεκα, καὶ τὰ τείχη τῶν Ἀθηναίων, ἕκτῃ ἐπὶ δεκάτῃ Μουνυχιῶνος[13] μηνὸς, ἐν ᾗ καί τὴν ἐν Σαλαμῖνι ναυμαχίαν ἐνίκων[14] τὸν βάρβαρον, ἐβου-

---

9°. *It was absurd*, says Plutarch, *in Theopompus, the comedian, to compare the Lacedæmonians to hucksters who give sweet wine to taste as a sample, but pour out sour*, εὐθὺς γὰρ, &c.—10°. The future here expresses expectation ; *trusting soon to take the city.*—11°. τοῖς φυγάσι, the oligarchists, who had been previously banished from the free cities.—12°. παρεστήσατο, that is, εἷλε· *compelled to make peace on the conditions which he dictated.*—13°. *Munychion*, the first spring month of the Athenians, corresponding to April.—14°. like νίκην νικᾶν. Gram. § 131. 3. p. 264. ἐν Σαλαμῖνι, *near Salamis.* See Viger, c. ix. p. 506.

UNIVERSITY OF CALIFORNIA

λευσεν εὐθὺς καὶ τὴν πολιτείαν μεταςῆσαι. Δυςπειθῶς δὲ καὶ τραχέως φερόντων,[15] ἀποςείλας πρὸς τὸν δῆμον, ἔφη, τὴν πόλιν εἰληφέναι παρασπονδοῦσαν· ἑστάναι γὰρ τὰ τείχη, τῶν ἡμερῶν, ἐν αἷς ἔδει καθῃρῆσθαι, παρῳχημένων· ἑτέραν οὖν ἐξ ἀρχῆς προθήσειν γνώμην περὶ αὐτῶν, ὡς τὰς ὁμολογίας λελυκότων.[16] Ἔνιοι δὲ καὶ προτεθῆναι φασὶν ὡς ἀληθῶς ὑπὲρ ἀνδραποδισμοῦ γνώμην ἐν τοῖς συμμάχοις· ὅτε καὶ τὸν Θηβαῖον Ἐρίανθον εἰςηγήσασθαι, τὸ μὲν ἄστυ κατασκάψαι, τὴν δὲ χώραν ἀνεῖναι μηλόβοτον. Εἶτα μέντοι συνουσίας γενομένης τῶν ἡγεμόνων, καὶ παρὰ πότον τινὸς Φωκέως ᾄσαντος ἐκ τῆς Εὐριπίδου Ἠλέκτρας τὴν πάροδον,[17] ἧς ἡ ἀρχή·

Ἀγαμέμνονος ὦ κόρα, ἤλυθον, Ἠλέκτρα,
Ποτὶ σὰν ἀγρότειραν αὐλάν·[18]

πάντας ἐπικλασθῆναι, καὶ φανῆναι[19] σχέτλιον ἔργον, τὴν οὕτως εὐκλεᾶ καὶ τοιούτους ἄνδρας φέρουσαν ἀνελεῖν καὶ διεργάσασθαι πόλιν.

Ὁ δ᾽ οὖν Λύσανδρος, ἐνδόντων τῶν Ἀθηναίων πρὸς ἅπαντα, πολλὰς μὲν ἐξ ἄστεος μεταπεμψάμενος αὐλητρίδας, πάσας δὲ τὰς ἐν τῷ στρατοπέδῳ συναγαγὼν, τὰ τείχη κατέσκαπτε, καὶ τὰς τριήρεις κατέφλεγε πρὸς τὸν αὐλὸν, ἐστεφανωμένων καὶ παιζόντων ἅμα τῶν συμμάχων, ὡς ἐκείνην τὴν ἡμέραν ἄρχουσαν τῆς ἐλευθερίας. Εὐθὺς δὲ καὶ τὰ περὶ τὴν πολιτείαν ἐκίνησε, τριάκοντα

15°. that is, τῶν Ἀθηναίων.—16°. *and that he should now propose a different counsel* (γνώμην) *or opinion, in respect to them, as unfaithful to their engagements.*—17°. πάροδος, the name given to what was chanted by the chorus in entering the orchestra.—18°. ποτὶ for πρὸς, σὰν for σὴν, αὐλὰν for αὐλὴν, are Doricisms; see above, p. 202, note 27. According to Euripides, Electra was given in marriage by her mother to a needy peasant. This fortune of the princess and her royal house were compared by the hearers to the fate of Athens, once so renowned and now so fallen.—19°. αὐτοῖς understood.

μὲν ἐν ἄστει, δέκα δ' ἐν Πειραιεῖ καταστήσας ἄρχοντας, ἐμβαλὼν δὲ φρουρὰν εἰς τὴν ἀκρόπολιν, καὶ Καλλίβιον ἁρμοστὴν, ἄνδρα Σπαρτιάτην, ἐπιστήσας. Ἐπεὶ δὲ οὗτος Αὐτόλυκον, τὸν ἀθλητὴν τὴν βακτηρίαν διαράμενος παίσειν ἔμελλεν, ὁ δὲ, τῶν σκελῶν συναράμενος, ἀνέτρεψεν αὐτὸν, οὐ συνηγανάκτησεν[20] *ὁ Λύσανδρος, ἀλλὰ καὶ ἐπετίμησε, φήσας, αὐτὸν οὐκ ἐπίστασθαι ἐλευθέρων ἄρχειν. Ἀλλὰ τὸν Αὐτόλυκον οἱ τριάκοντα, τῷ Καλλιβίῳ χαριζόμενοι, μικρὸν ὕστερον ἀνεῖλον.*

XI.

PHOCION.

Φωκίωνα οὔτε γελάσαντά τις, οὔτε κλαύσαντα ῥᾳδίως Ἀθηναίων εἶδεν,[1] *οὐδ' ἐν βαλανείῳ δημοσιεύοντι λουσάμενον, οὐδ' ἐκτὸς*[2] *ἔχοντα τὴν χεῖρα τῆς περιβολῆς, ὅτε τύχοι περιβεβλημένος.*[3] *Επεὶ*[4] *κατά γε τὴν χώραν καὶ τὰς στρατείας ἀνυπόδητος ἀεὶ καὶ γυμνὸς*[5] *ἐβάδιζεν, εἰ μὴ ψῦχος ὑπερβάλλον εἴη*[6] *καὶ δυςκαρτέρητον, ὥςτε καὶ παίζοντας ἤδη τοὺς στρατευομένους σύμβολον μεγάλου ποιεῖσθαι χειμῶνος ἐνδεδυμένον Φωκίωνα.*

Τῷ δ' ἤθει προςηνέστατος ὢν καὶ φιλανθρωπότατος, ἀπὸ τοῦ προςώπου[7] *δυςξύμβολος ἐφαίνετο καὶ σκυθρωπὸς, ὥςτε μὴ ῥᾳδίως ἄν τινα μόνον ἐντυχεῖν αὐτῷ τῶν*

20°. *did not partake the indignation* of Callibius against Autolycus.

1°. The connexion is, *Ἀθηναίων τις.*—2°. *ἐκτός·* it was a point of decorum to carry the arms wrapped up in the cloak.—3°. *ὅτε τύχοι*, because he seldom wore a cloak.—4°. *ἐπεὶ*, *siquidem.*—5°. i. e. with underclothing alone.—6°. The optative sometimes expresses an action that may be repeated. Gram. § 140. Rem. 5. p. 287.—7°. *from the expression of his countenace.*

ἀσυνήθων. Διὸ καὶ Χάρητί[8] ποτε πρὸς τὰς ὀφρῦς[8] αὐτοῦ λέγοντι, τῶν Ἀθηναίων ἐπιγελώντων, Οὐδὲν, εἶπεν, αὕτη ὑμᾶς λελύπηκεν ἡ ὀφρύς· ὁ δὲ τούτων γέλως πολλὰ κλαῦσαι τὴν πόλιν πεποίηκεν.

Ὁ Φωκίωνος λόγος πλεῖστον ἐν ἐλαχίστῃ λέξει νοῦν εἶχε. Καὶ πρὸς τῦτ' ἔοικεν ἀπιδὼν ὁ Σφήττιος[9] Πολύευκτος εἰπεῖν, ὅτι ῥήτωρ[10] μὲν ἄριστος εἴη Δημοσθένης, εἰπεῖν[10] δὲ δεινότατος ὁ Φωκίων. Ὁ δὲ Δημοσθένης τῶν μὲν ἄλλων κατεφρόνει πολὺ ῥητόρων, ἀνισταμένου δὲ Φωκίωνος, εἰώθει λέγειν ἀτρέμα[11] πρὸς τοὺς φίλους· Ἡ τῶν ἐμῶν λόγων κοπὶς πάρεστιν. Ἀλλὰ τοῦτο μὲν ἴσως πρὸς τὸ ἦθος ἀνοιστέον. Ἐπεὶ καὶ ῥῆμα καὶ νεῦμα μόνον ἀνδρὸς ἀγαθοῦ μυρίοις ἐνθυμήμασι καὶ περιόδοις ἀντίῤῥοπον ἔχει πίστιν.[12]

Οἱ τῶν Ἀθηναίων σύμμαχοι καὶ οἱ νησιῶται τοὺς Ἀθήνηθεν ἀποστόλους, ἑτέρου[13] μὲν ἐκπλέοντος ϛρατηγοῦ, πολεμίους νομίζοντες, ἐφράγνυντο τείχη, καὶ λιμένας ἀπεχώννυσαν, καὶ κατεκόμιζον ἀπὸ τῆς χώρας εἰς τὰς πόλεις βοσκήματα, καὶ ἀνδράποδα, καὶ γυναῖκας, καὶ παῖδας· εἰ δὲ Φωκίων ἡγοῖτο, πόῤῥω ναυσὶν ἰδίαις ἀπαντῶντες ἐστεφανωμένοι, καὶ χαίροντες, ὡς[14] αὐτοὺς κατῆγον.

Ἤδη δὲ τῶν Ἀθηναίων πρὸς Φίλιππον ἐκπεπολεμωμένον παντάπασι, καὶ στρατηγὸν, αὐτοῦ μὴ παρόντος, ἕτερον ἐπὶ τὸν πόλεμον ᾑρημένων, ὡς κατέπλευσεν ἀπὸ

8°. *Chares*, a general in ill repute: ὀφρῦς, like the Latin *supercilium*, supposed to be the seat of haughty disdain.—9°. *the Sphettian*; Sphettos was an Athenian δῆμος· *Polyeuctus*, one of the orators of the day.—10°. ῥήτωρ expresses rather *rhetorical skill*, εἰπεῖν δεινότατος, *persuasive power*, as a speaker.—11°. ἀτρέμα, equal to ἡσυχῇ.—12°. ἀντίῤῥοπον, ἴσην· πίστιν, δύναμιν εἰς τὸ πείθειν.—13°. ἑτέρου, such for instance as Chares. The rapacious conduct of the troops and their commanders was a subject of general complaint among the allies.—14°. ὡς is used for πρὸς with persons.

τῶν νήσων, πρῶτον μὲν[15] ἔπειθη τὸν δῆμον, εἰρηνικῶς ἔχοντος τοῦ Φιλίππȣ, καὶ φοϐȣμένȣ τὸν κίνδυνον, ἰσχυρῶς[16] δέχεσθαι τὰς διαλύσεις· καὶ τινὸς ἀντικρούσαντος[17] αὐτῷ τῶν εἰωθότων συκοφαντεῖν, καὶ εἰπόντος· Σὺ δὲ τολμᾷς, ὦ Φωκίων, ἀποτρέπειν Ἀθηναίȣς ἤδη τὰ ὅπλα διὰ χειρῶν ἔχοντας; Ἐγώγε,[18] εἶπε, καὶ ταῦτ᾽ εἰδὼς, ὅτι, πολέμου μὲν ὄντος, ἐγὼ σοῦ, εἰρήνης δὲ γενομένης, σὺ ἐμοῦ ἄρξεις. Ὡς δ᾽ οὐκ ἔπειθεν, ἀλλ᾽ ὁ Δημοσθένης ἐκράτει, κελεύων ὡς προῤῥωτάτω τῆς Ἀττικῆς θέσθαι μάχην τοὺς Ἀθηναίȣς· Ὦ τᾶν,[19] ἔφη, μὴ, ποῦ μαχώμεθα, σκοπῶμεν, ἀλλὰ πῶς νικήσωμεν. Οὕτω γὰρ[20] ἔσται μακρὰν ὁ πόλεμος· ἡττωμένοις δὲ πᾶν ἀεὶ δεινὸν[21] ἐγγὺς πάρεστι.

* * * *

Συνεϐȣλευεν Ἀλεξάνδρῳ ὁ Φωκίων,[22] εἰ μὲν ἡσυχίας ὀρέγεται, καταθέσθαι τὸν πόλεμον· εἰ δὲ δόξης, μεταθέσθαι πρὸς τοὺς βαρϐάρȣς ἀπὸ τῶν Ἑλλήνων τραπόμενον. Καὶ πολλὰ καὶ πρὸς τὴν Ἀλεξάνδρου φύσιν καὶ βούλησιν εὐςόχως εἰπὼν,[23] οὕτω μετέϐαλε καὶ κατεπράϋνεν αὐτὸν, ὥστ᾽ εἰπεῖν, ὅπως προσέξουσι τὸν νοῦν Ἀθηναῖοι τοῖς πράγμασιν,[24] ὡς, εἴ τι γένοιτο περὶ αὐτὸν,[25] ἐκείνοις ἄρχειν προσῆκον. Ἰδίᾳ δὲ τὸν Φωκίωνα ποιησάμενος αὐτοῦ φίλον καὶ ξένον, εἰς τοσαύτην ἔθετο

15°. The words *πρῶτον μὲν* refer to *ὡς δ᾽ οὐκ* below.—16° *ἰσχυρῶς*, *zealously*; *τὰς διαλύσεις*, the *conditions of peace* offered by Philip.—17°. *ἀντιλέξαντος*.—13°. *Ἐγώγε*· the *γε* affirms the question, strengthening the assertion of the interrogator. *I dare*, replied Phocion, *even though I shall govern you, in case of war, and you me in case of peace.*—19°. See the Lexicon, under *ὦ τᾶν*.—20°. that is *ἐὰν νικήσωμεν*.—21°. *πᾶν δεινὸν, πᾶς κίνδυνος*. The reasonableness of Phocion's fears was confirmed by the events, as the fatal battle of Cheronæa followed these transactions.—22°. Phocion was sent ambassador to Alexander after the accession of the latter to the throne.—23°. *Καὶ πολλὰ εἰπὼν εὐστόχως καὶ πρὸς τὴν φύσιν καὶ βούλησιν Ἀλεξάνδρου.*—24°. *the affairs* of Greece.—25°. an euphemism for *εἴ τι πάθοι*, as in English, 'if any thing *should happen* to him.'

τιμὴν, ὅσην εἶχον ὀλίγοι τῶν ἀεὶ συνόντων. Ὁ γοῦν Δοῦρις εἴρηκεν, ὡς μέγας γενόμενος,[26] καὶ Δαρείου κρατήσας, ἀφεῖλε τῶν ἐπιστολῶν τὸ Χ α ί ρ ε ι ν, πλὴν ἐν ὅσαις ἔγραφε Φωκίωνι. Τοῦτον δὲ μόνον μετὰ τοῦ Χ α ί ρ ε ι ν προςηγόρευε.

Τὸ μέντοι περὶ τῶν χρημάτων ὁμολογέμενον,[27] ἔστιν, ὅτι δωρεὰν αὐτῷ κατέπεμψεν ἑκατὸν τάλαντα. Τούτων κομισθέντων εἰς Ἀθήνας, ἠρώτησεν ὁ Φωκίων τοὺς φέροντας, τί δή ποτε, πολλῶν ὄντων Ἀθηναίων, αὐτῷ μόνῳ τοσαῦτα δίδωσιν Ἀλέξανδρος; Εἰπόντων δ' ἐκείνων, Ὅτι σὲ κρίνει μόνον ἄνδρα καλὸν καὶ ἀγαθόν· Οὐκοῦν, εἶπεν ὁ Φωκίων, ἐασάτω με καὶ δοκεῖν ἀεὶ καὶ εἶναι τοιοῦτον. Ὡς δ' ἀκολουθήσαντες εἰς οἶκον αὐτῷ πολλὴν ἑώρων εὐτέλειαν, τὴν μὲν γυναῖκα μάττεσαν, ὁ δὲ[28] Φωκίων αὐτὸς ἀνιμήσας ὕδωρ ἐκ τοῦ φρέατος ἀπενίπτετο τοὺς πόδας, ἔτι μᾶλλον ἐνέκειντο, καὶ ἠγανάκτουν, δεινὸν εἶναι λέγοντες, εἰ φίλος ὢν τοῦ βασιλέως ὅτω διαιτήσεται πονηρῶς. Ἰδὼν ἐν ὁ Φωκίων πένητα πρεσβύτην, ἐν τριβωνίῳ ῥυπαρῷ πορευόμενον, ἠρώτησεν, εἰ τούτε χείρονα νομίζουσιν αὐτόν· εὐφημεῖν δ' ἐκείνων δεομένων,[29] Καὶ μὴν[30] οὗτος, εἶπεν, ἀπ' ἐλαττόνων ἐμοῦ ζῇ, καὶ ἀρκεῖται. Τὸ δ' ὅλον,[31] ἢ μὴ χρώμενος, ἔφη, μάτην ἕξω τοσοῦτον χρυσίον, ἢ χρώμενος, ἐμαυτὸν ἅμα κἀκεῖνον[32] διαβαλῶ πρὸς τὴν πόλιν. Οὕτω μὲν οὖν ἐπανῆλθε πάλιν τὰ χρήματα ἐξ Ἀθηνῶν, ἐπιδείξαντα τοῖς Ἕλλησι πλεσιώτερον τοῦ διδόντος τοσαῦτα τὸν μὴ δεόμενον.

26°. Ἀλέξανδρος.—27°. *What is admitted to be true with respect to the presents* (χρημάτων), *is*, &c.—28°. There is a slight irregularity in the construction here. After τὴν μὲν γυναῖκα should have followed τὸν δὲ Φωκίωνα ἀνιμήσαντα.—29°. a strong expression of dissent: in Latin, *bona verba, quæso*; in English, God *forbid*.—30°. Καὶ μὴν, *And yet*: Phocion would say, that to live contented with less was to be a better man.—31°. Τὸ δ' ὅλον εἰπεῖν, *In a word*.—32°. Ἀλέξανδρον· διαβαλῶ, *I shall bring into suspicion with the city.*

XII.

PHOCION.

*Phocion's Condemnation and Death.**

Τὸν δὲ Φωκίωνα καὶ τοὺς μετ' αὐτοῦ Κλεῖτος εἰς Ἀθήνας[1] ἀνῆγε, λόγῳ μὲν κριθησομένους, ἔργῳ δὲ ἀποθανεῖν κατακεκριμένους. Καὶ προσῆν τὸ σχῆμα τῇ κομιδῇ λυπηρὸν, ἐφ' ἁμάξαις κομιζομένων αὐτῶν διὰ τοῦ Κεραμεικοῦ πρὸς τὸ θέατρον.[2] Ἐκεῖ γὰρ αὐτοὺς προσαγαγὼν ὁ Κλεῖτος συνεῖχεν, ἄχρις οὗ τὴν ἐκκλησίαν ἐπλήρωσαν οἱ ἄρχοντες, οὐ δοῦλον, οὐ ξένον, οὐκ ἄτιμον[3] ἀποκρίναντες, ἀλλὰ πᾶσι καὶ πάσαις ἀναπεπταμένον τὸ βῆμα καὶ τὸ θέατρον παρασχόντες.[4] Ἐπεὶ δ' ἡ ἐπιστολὴ τοῦ βασιλέως ἀνεγνώσθη, λέγοντος, αὑτῷ μὲν ἐγνῶσθαι προδότας γεγονέναι τοὺς ἄνδρας, ἐκείνοις[5] δὲ διδόναι τὴν κρίσιν, ἐλευθέροις ἤδη καὶ αὐτονόμοις οὖσι, καὶ τοὺς ἄνδρας ὁ Κλεῖτος εἰσήγαγεν, οἱ μὲν βέλτιστοι τῶν πολιτῶν, ὀφθέντος τοῦ Φωκίωνος, ἐνεκαλύψαντο, καὶ κάτω κύψαντες ἐδάκρυον· εἷς δ' ἀναστὰς ἐτόλμησεν εἰπεῖν, ὅτι τηλικαύτην κρίσιν ἐγκεχειρικότος τῷ δήμῳ τοῦ βασιλέως, καλῶς ἔχει τοὺς δούλους καὶ τοὺς ξένους ἀπελθεῖν ἐκ τῆς ἐκκλησίας. Οὐκ ἀνα-

---

1°. They had been at the camp of Polysperchon to justify themselves.—2°. The public assemblies were often convoked in the theatre.—3°. Those pronounced *infamous* for certain crimes, lost all civil privileges, and among others, that of voting.—4°. *but throwing open* (ἀναπεπταμένον παρασχόντες) *the tribunal and theatre, to all of either sex.*—5°. Ἀθηναίοις. Polysperchon here cajoles or rather derides the Athenians, by calling them free and independent.

---

* After the death of Antipater, his son Cassander, and Polysperchon, the guardian of the Macedonian king Aridæus, strove to acquire severally the possession of Greece. Phocion being accused by the people at the instigation of Polysperchon of treasonable attachment to Cassander, he was deposed from the rank of commander and delivered over to the people for trial by Poylsperchon.

σχομένων δὲ τῶν πολλῶν,[6] ἀλλ᾽ ἀνακραγόντων βάλλειν τοὺς ὀλιγαρχικοὺς καὶ μισοδήμους, ἄλλος μὲν οὐδεὶς ὑπὲρ τοῦ Φωκίωνος ἐπεχείρησεν εἰπεῖν, αὐτὸς δὲ χαλεπῶς καὶ μόλις ἐξακουσθεὶς, Πότερον, εἶπεν, ἀδίκως ἢ δικαίως ἀποκτεῖναι βούλεσθε ἡμᾶς; Ἀποκριναμένων δέ τινων, ὅτι δικαίως· Καὶ τοῦτο, ἔφη, πῶς γνώσεσθε, μὴ ἀκούσαντες;[7] Ἐπεὶ δ᾽ οὐδὲν μᾶλλον ἤκουον, ἐγγυτέρω προσελθὼν, Ἐγὼ μὲν, εἶπεν, ἀδικεῖν ὁμολογῶ, καὶ θανάτου τιμῶμαι τὰ πεπολιτευμένα ἐμαυτῷ· τούτους[8] δ᾽, ἄνδρες Ἀθηναῖοι, διὰ τί ἀποκτενεῖτε, μηδὲν ἀδικοῦντας; Ἀποκρινομένων δὲ πολλῶν· Ὅτι σοὶ φίλοι εἰσίν· ὁ μὲν Φωκίων ἀποστὰς ἡσυχίαν ἦγεν· ὁ δ᾽ Ἁγνωνίδης[9] ψήφισμα γεγραμμένον ἔχων ἀνέγνω, καθ᾽ ὃ τὸν δῆμον ἔδει χειροτονεῖν περὶ τῶν ἀνδρῶν, εἰ δοκοῦσιν ἀδικεῖν· τοὺς δ᾽ ἄνδρας, ἂν καταχειροτονηθῶσιν, ἀποθνήσκειν.

Ἀναγνωσθέντος δὲ τοῦ ψηφίσματος, ἠξίουν τινὲς προσγράφειν, ὅπως καὶ στρεβλωθεὶς[10] Φωκίων ἀποθάνοι, καὶ τὸν τροχὸν εἰσφέρειν, καὶ τοὺς ὑπηρέτας καλεῖν προσέταττον. Ὁ δ᾽ Ἁγνωνίδης καὶ τὸν Κλεῖτον ὁρῶν δυσχεραίνοντα, καὶ τὸ πρᾶγμα βαρβαρικὸν εἶναι καὶ μιαρὸν ἡγούμενος· Ὅταν, ἔφη, Καλλιμέδοντα τὸν μαστιγίαν[11] λάβωμεν, ὦ ἄνδρες Ἀθηναῖοι, λαβόντες στρεβλώσομεν· περὶ δὲ Φωκίωνος οὐδὲν ἐγὼ γράφω τοιοῦτον. Ἐνταῦθα τῶν ἐπιεικῶν τις ὑπεφώνησεν· Ὀρθῶς γε σὺ ποιῶν· ἂν γὰρ Φωκίωνα βασανίσωμεν, σὲ τί ποιήσομεν; Ἐπικυρωθέντος δὲ τοῦ ψηφίσματος, καὶ τῆς χειροτονίας ἀποδοθείσης,[12] οὐδεὶς καθήμενος, ἀλλὰ πάντες ἐξαναστάν-

6°. τῶν πολλῶν, *the mass, the mob.*—7°. μὴ ἀκούσαντες, that is, εἰ μὴ ἠκούσατε.—8°. his fellow prisoners.—9°. the person who had denounced Phocion to Polysperchon.—10°. The rack, usually applied only in the case of slaves, was sometimes also made to precede the death of citizens.—11°. μαστιγίας, a term of contempt for a slave. Callimedon was a rhetorician.—12°. *the decree being decided* (that is, that it should be death without the torture), *and the vote put.*

τες, οἱ δὲ πλεῖστοι καὶ στεφανωσάμενοι,[13] κατεχειροτόνησαν αὐτῶν θάνατον. Ἦσαν δὲ σὺν τῷ Φωκίωνι Νικοκλῆς, Θούδιππος, Ἡγήμων, Πυθοκλῆς· Δημητρίου δὲ τοῦ Φαληρέως, καὶ Καλλιμέδοντος, καὶ Χαρικλέους, καὶ τινων ἄλλων ἀπόντων κατεψηφίσθη θάνατος.

Ὡς οὖν διαλύσαντες τὴν ἐκκλησίαν ἦγον εἰς τὸ δεσμωτήριον τοὺς ἄνδρας, οἱ μὲν ἄλλοι, περιπλεκομένων τῶν φίλων αὐτοῖς καὶ οἰκείων, ὀδυρόμενοι καὶ καταθρηνοῦντες ἐβάδιζον· τὸ δὲ Φωκίωνος πρόσωπον, οἷον ὅτε στρατηγῶν ἀπ' ἐκκλησίας προὐπέμπετο βλέποντες,[14] ἐθαύμαζον τὴν ἀπάθειαν καὶ μεγαλοψυχίαν τοῦ ἀνδρός· οἱ δ' ἐχθροὶ κακῶς ἔλεγον παρατρέχοντες· εἷς δὲ καὶ προσέπτυσεν ἐξεναντίας προσελθών. Ὅτε καὶ τὸν Φωκίωνα λέγεται βλέψαντα πρὸς τοὺς ἄρχοντας εἰπεῖν· Οὐ παύσει τις ἀσχημονοῦντα τοῦτον; Ἐπεὶ δὲ Θούδιππος ἐν τῷ δεσμωτηρίῳ γενόμενος, καὶ τὸ κώνειον ὁρῶν τριβόμενον, ἠγανάκτει, καὶ κατέκλαιε τὴν συμφορὰν, ὡς οὐ προσηκόντως τῷ Φωκίωνι συναπολλύμενος, Εἶτ' οὐκ ἀγαπᾷς, εἶπεν, ὅτι μετὰ Φωκίωνος ἀποθνήσκεις; Ἐρομένου δέ τινος τῶν φίλων, εἴ τι πρὸς Φῶκον λέγει, τὸν υἱόν· Πάνυ μὲν οὖν, ἔφη, λέγω μὴ μνησικακεῖν Ἀθηναίοις.

Πεπωκότων δὲ ἤδη πάντων τὸ κώνειον, τὸ φάρμακον ἐπέλιπε, καὶ ὁ δημόσιος οὐκ ἔφη[15] τρίψειν ἕτερον, εἰ μὴ λάβοι δώδεκα δραχμὰς, ὅσου[16] τὴν ὁλκὴν ὠνεῖται. Χρόνου δὲ διαγενομένου καὶ διατριβῆς, ὁ Φωκίων καλέσας τινὰ τῶν φίλων καὶ εἰπὼν, Ἢ μηδὲ ἀποθανεῖν Ἀθή-

---

13°. as after a victory.—14°. The sentence would have been more accurately expressed thus, τὸ δὲ Φωκίωνος πρόσωπον ἐφαίνετο οἷον ὅτε στρατηγῶν (*as a commander*) ἀπ' ἐκκλησίας προὐπέμπετο (*escorted*), ὃ βλέποντες, ἐθαύμαζον, &c. 15°. *refused to grind another portion.*—16°. ὅσου, Gram. § 132. 5. b). p. 269.

νησι δωρεάν ἐστιν, ἐκέλευσε τῷ ἀνθρώπῳ δοῦναι τὸ κερμάτιον.

Ἦν δ' ἡμέρα μηνὸς Μουνυχιῶνος ἐνάτη ἐπὶ δέκα, καὶ τῷ Διῒ[17] τὴν πομπὴν πέμποντες οἱ ἱππεῖς παρεξῄεσαν. Ὧν οἱ μὲν ἀφείλοντο τοὺς στεφάνους,[18] οἱ δὲ πρὸς τὰς θύρας δεδακρυμένοι τῆς εἱρκτῆς ἀπέβλεψαν. Ἐφάνη δὲ τοῖς μὴ παντάπασιν ὠμοῖς καὶ διεφθαρμένοις ὑπ' ὀργῆς καὶ φθόνου τὴν ψυχὴν, ἀνοσιώτατον γεγονέναι, τὸ μήδ' ἐπισχεῖν τὴν ἡμέραν ἐκείνην, μηδὲ καθαρεῦσαι δημοσίου φόνου τὴν πόλιν ἑορτάζουσαν.[19]

Οὐ μὴν ἀλλ'[20] ὥςπερ ἐνδεέστερον[21] ἠγωνισμένοις τοῖς ἐχθροῖς ἔδοξε καὶ τὸ σῶμα τοῦ Φωκίωνος ἐξορίσαι, καὶ μηδὲ πῦρ ἐναῦσαι μηδένα πρὸς τὴν ταφὴν Ἀθηναίων. Δι' ὃ φίλος μὲν οὐδεὶς ἐτόλμησεν ἅψασθαι τοῦ σώματος, Κωνωπίων δέ τις, ὑπουργεῖν εἰθισμένος τὰ τοιαῦτα μισθοῦ,[22] κομισθέντα τὸν νεκρὸν ὑπὲρ τὴν Ἐλευσῖνα, πῦρ λαβὼν ἐκ τῆς Μεγαρικῆς, ἔκαυσεν. Καὶ Μεγαρικὴ γυνὴ παροῦσα μετὰ τῶν θεραπαινίδων[8] ἔχωσε μὲν αὐτόθι χῶμα κενον[23] καὶ κατέσπεισεν· ἐνθεμένη δὲ τῷ κόλπῳ τὰ ὀστᾶ, καὶ κομίσασα νύκτωρ εἰς τὴν οἰκίαν, κατώρυξε παρὰ τὴν ἑστίαν, εἰποῦσα· Σοὶ, ὦ φίλη ἑστία, παρακατατίθεμαι ταῦτα ἀνδρὸς ἀγαθοῦ λείψανα· σὺ δ' αὐτὰ τοῖς πατρῴοις ἀπόδος ἠρίοις, ὅταν Ἀθηναῖοι σωφρονήσωσι.

Καὶ μέντοι χρόνου βραχέος διαγενομένου, καὶ τῶν πραγμάτων διδασκόντων, οἷον ἐπιστάτην καὶ φύλακα σωφροσύνης καὶ δικαιοσύνης ὁ δῆμος ἀπώλεσεν, ἀνδριάντα μὲν αὐτοῦ χαλκοῦν ἀνέστησαν, ἔθαψαν δὲ δημοσίοις

17°. τῷ Διῒ, *in honor of Jupiter.*—18°. as mourners.—19°. *that the city celebrating a festival had not refrained that day and kept pure from a public execution.*—20°. *on the contrary.*—21°. ἔδοξε τοῖς ἐχθροῖς, ὥςπερ ἐνδεέστερον ἠγωνισμένοις (*as if they had inadequately pursued the race* of passion and cruelty), καὶ τὸ σῶμα.—22°. See above, note 16.—23°. *erected a cenotaph.*

τέλεσι τὰ ὀστᾶ. Τῶν δὲ κατηγόρων Ἀγνωνίδην μὲν αὐτοὶ, θάνατον καταχειροτονήσαντες, ἀπέκτειναν· Ἐπίκουρον δὲ καὶ Δημόφιλον, ἀποδράντας ἐκ τῆς πόλεως, ἀνευρὼν ὁ τοῦ Φωκίωνος υἱὸς ἐτιμωρήσατο.

XIII.

DEMOSTHENES.

Λέγεται, τοῦ Δημοσθένους ὀδυρομένου ποτὲ πρὸς Σάτυρον, τὸν ὑποκριτὴν, ὅτι πάντων φιλοπονώτατος ὢν τῶν λεγόντων, καὶ μικροῦ δέων[1] καταναλωκέναι τὴν τοῦ σώματος ἀκμὴν εἰς τοῦτο[2] χάριν οὐκ ἔχει πρὸς τὸν δῆμον, ἀλλὰ κραιπαλῶντες ἄνθρωποι καὶ ἀμαθεῖς ἀκούονται καὶ κατέχουσι τὸ βῆμα, παρορᾶται δ' αὐτός. Ἀληθῆ λέγεις, ὦ Δημόσθενες, φάναι τὸν Σάτυρον· ἀλλ' ἐγὼ τὸ αἴτιον ἰάσομαι ταχέως, ἂν μοι τῶν Εὐριπίδου τινὰ ῥήσεων ἢ Σοφοκλέους ἐθελήσῃς εἰπεῖν ἀπὸ στόματος. Εἰπόντος δὲ τοῦ Δημοσθένους, μεταλαβόντα[3] τὸν Σάτυρον, οὕτω πλάσαι καὶ διεξελθεῖν ἐν ἤθει πρέποντι καὶ διαθέσει τὴν αὐτὴν ῥῆσιν, ὥσθ' ὅλως ἑτέραν τῷ Δημοσθένει φανῆναι. Πεισθέντα δὲ ὅσον ἐκ τῆς ὑποκρίσεως τῷ λόγῳ κόσμου καὶ χάριτος πρόσεστι,[4] μικρὸν ἡγήσασθαι καὶ τὸ μηδὲν εἶναι[5] τὴν ἄσκησιν, ἀμελοῦντι τῆς προφορᾶς καὶ διαθέσεως τῶν λεγομένων. Ἐκ τούτου κατάγειον μὲν οἰκοδομῆσαι μελετητήριον· ἐνταῦθα δὲ πάντως μὲν ἑκάστης ἡμέρας κατιόντα πλάττειν τὴν ὑπόκρισιν, καὶ διαπονεῖν τὴν φωνήν· πολλάκις δὲ καὶ

1°. See Gram. § 151. πολλοῦ δεῖ, p. 314.—2°. that is, the art of speaking.—3°. μεταλαβόντα, like φάναι above, is construed with λέγεται at the beginning of the sentence.—4°. The construction is, πεισθέντα δὲ ὅσον κόσμου καὶ χάριτος πρόσεστι τῷ λόγῳ ἐκ τῆς ὑποκρίσεως.—5°. *little or nothing*, a hyperbolical expression.

μῆνας ἑξῆς δύο καὶ τρεῖς συνάπτειν,[6] ξυρούμενον τῆς κεφαλῆς θάτερον μέρος, ὑπὲρ τοῦ μηδὲ βουλομένῳ πάνυ προελθεῖν ἐνδέχεσθαι δι' αἰσχύνην.[7]

Ὥρμησε μὲν οὖν ἐπὶ τὸ πράττειν τὰ κοινὰ,[8] τοῦ Φωκικοῦ πολέμου[9] συνεστῶτος.—Λαβὼν δὲ τῆς πολιτείας καλὴν ὑπόθεσιν, τὴν πρὸς Φίλιππον ὑπὲρ τῶν Ἑλλήνων δικαιολογίαν, καὶ πρὸς ταύτην ἀγωνιζόμενος ἀξίως, ταχὺ δόξαν ἔσχε, καὶ περίβλεπτος ὑπὸ τῶν λόγων ἤρθη[10] καὶ τῆς παῤῥησίας· ὥστε θαυμάζεσθαι μὲν ἐν τῇ Ἑλλάδι, θεραπεύεσθαι δ' ὑπὸ τοῦ μεγάλου βασιλέως, πλεῖστον δ' αὐτοῦ λόγον εἶναι παρὰ τῷ Φιλίππῳ τῶν δημαγωγούντων· ὁμολογεῖν δὲ καὶ τοὺς ἀπεχθανομένους, ὅτι πρὸς ἔνδοξον αὐτοῖς ἄνθρωπον ὁ ἀγών ἐστιν.[11]

Ἡ δὲ τοῦ Δημοσθένους πολιτεία φανερὰ μὲν ἦν,[12] ἔτι καὶ τῆς εἰρήνης ὑπαρχούσης, οὐδὲν ἐῶντος ἀνεπιτίμητον τῶν πραττομένων ὑπὸ τοῦ Μακεδόνος, ἀλλ' ἐφ' ἑκάστῳ[13] ταράττοντος τοὺς Ἀθηναίους, καὶ διακαίοντος ἐπὶ τὸν ἄνθρωπον.[14] Διὸ καὶ παρὰ Φιλίππῳ πλεῖστος ἦν λόγος αὐτοῦ· καὶ ὅτε πρεσβεύων δέκατος[15] ἧκεν εἰς Μακεδονίαν, ἤκουσε μὲν πάντων Φίλιππος, ἀντεῖπε δὲ μετὰ πλείστης ἐπιμελείας πρὸς τὸν ἐκείνου λόγον. Οὐ μὴν ἔν γε ταῖς ἄλλαις τιμαῖς καὶ φιλοφροσύναις ὅμοιον αὐτὸν τῷ Δημοσθένει παρεῖχεν, ἀλλὰ προσήγετο τοὺς

6°. *to have passed in succession.*—7°. *so that it should not be possible for him through shame to go out, even though he much wished it.*—8°. *he engaged in public affairs.*—9°. The Phocian war was waged on account of plundering the temple at Delphi, between the Phocians on the one hand, and the Bœotians, Locrians, and Thessalians on the other. Ol. cv. 4.—10°. περίβλεπτος ἤρθη, a stronger expression for περίβλεπτος ἐγένετο.—11°. *that they had to contend with an illustrious man.*—12°. equivalent to φανερὸν ἦν ὅτι ἡ πολιτεία Δημοσθένους ἦν (*it was plain that it was the political system of Demosthenes,*) οὐδὲν ἐῶν.—13°. *on every occasion.*—14°. Philip.—15°. *one of ten.*

περὶ Αἰσχίνην καὶ Φιλοκράτην[16] μᾶλλον. Ὅθεν ἐπαινούντων ἐκείνων τὸν Φίλιππον, ὡς καὶ λέγειν δυνατώτατον, καὶ κάλλιστον ὀφθῆναι, καὶ νὴ Δία συμπιεῖν ἱκανώτατον, ἠναγκάζετο βασκαίνων[17] ἐπισκώπτειν, ὡς τὸ μὲν σοφιστοῦ, τὸ δὲ γυναικὸς, τὸ δὲ σπογγιᾶς εἴη, βασιλέως δ᾽ οὐδὲν ἐγκώμιον.

Ἐπεὶ δ᾽ εἰς τὸ πολεμεῖν ἔῤῥεπε τὰ πράγματα, τοῦ μὲν Φιλίππου μὴ δυναμένου τὴν ἡσυχίαν ἄγειν, τῶν δ᾽ Ἀθηναίων ἐγειρομένων ὑπὸ τοῦ Δημοσθένους, πρῶτον μὲν εἰς Εὔβοιαν ἐξώρμησε[18] τοὺς Ἀθηναίους, καταδεδουλωμένην ὑπὸ τῶν τυράννων Φιλίππῳ· καὶ διαβάντες, ἐκείνου τὸ ψήφισμα γράψαντος, ἐξήλασαν τοὺς Μακεδόνας. Δεύτερον δὲ Βυζαντίοις ἐβοήθησε καὶ Περινθίοις ὑπὸ τοῦ Μακεδόνος πολεμουμένοις.—Ἔπειτα πρεσβεύων καὶ διαλεγόμενος τοῖς Ἕλλησι, καὶ παροξύνων, συνέστησε,[19] πλὴν ὀλίγων, ἅπαντας ἐπὶ τὸν Φίλιππον· ὥστε σύνταξιν γενέσθαι πεζῶν μὲν μυρίων καὶ πεντακισχιλίων, ἱππέων δὲ δισχιλίων, ἄνευ τῶν πολιτικῶν δυνάμεων,[20] χρήματα δὲ καὶ μισθοὺς τοῖς ξένοις[21] εἰσφέρεσθαι προθύμως. Ἐπηρμένης δὲ τῆς Ἑλλάδος πρὸς τὸ μέλλον, καὶ συνισαμένων κατ᾽ ἔθνη καὶ πόλεις Εὐβοέων, Ἀχαιῶν, Κορινθίων, Μεγαρέων, Λευκαδίων, Κερκυραίων, ὁ μέγιστος ὑπελείπετο τῷ Δημοσθένει τῶν ἀγώνων, Θηβαίους προσαγαγέσθαι τῇ συμμαχίᾳ, χώραν τε σύνορον τῆς Ἀττικῆς καὶ δύναμιν ἐναγώνιον ἔχοντας, καὶ μάλιστα τότε τῶν Ἑλλήνων εὐδοκιμοῦντας[22] ἐν τοῖς ὅπλοις. Ἦν δ᾽ οὐ

16°. See Gram. § 151. οἱ ἀμφί, p. 315.—17°. that is, ὑπὸ βασκανίας.—18°. ἐξώρμησε is equivalent to ἐκίνησε στόλον ἐκπέμπειν ὁ Δημοσθένης.—19°. *he united them all in one confederation.*—20°. *the municipal troops*, the militia, *of the cities.*—21°. *mercenaries.*—22°. The Thebans at this time enjoyed great military reputation in consequence of the battles at Leuctra and Mantinea.

ῥάδιον ἐπὶ προσφάτοις εὐεργετήμασι τοῖς περὶ τὸν Φωκικὸν πόλεμον τετιθασσευμένους[23] ὑπὸ τοῦ Φιλίππυ μεταστῆσαι τοὺς Θηβαίους, καὶ μάλιστα ταῖς διὰ τὴν γειτνίασιν ἀψιμαχίαις ἀναξαινομένων ἑκάστοτε τῶν πολεμικῶν πρὸς ἀλλήλας διαφορῶν ταῖς πόλεσιν.[24]

Οὐ μὴν ἀλλ' ἐπεὶ Φίλιππος εἰς τὴν Ἐλάτειαν ἐξαίφνης, ἐνέπεσε, καὶ τὴν Φωκίδα κατέσχεν, ἐκπεπληγμένων τῶν Ἀθηναίων, καὶ μηδενὸς τολμῶντος ἀναβαίνειν ἐπὶ τὸ βῆμα, μηδ' ἔχοντος ὅ τι χρὴ λέγειν, ἀλλ' ἀπορίας οὔσης ἐν μέσῳ[25] καὶ σιωπῆς, παρελθὼν μόνος ὁ Δημοσθένης, συνεβούλευε τῶν Θηβαίων ἔχεσθαι·[26] καὶ τἄλλα παραθαῤῥύνας καὶ μετεωρίσας, ὥσπερ εἰώθει, τὸν δῆμον ταῖς ἐλπίσι, ἀπεστάλη πρεσβευτὴς μεθ' ἑτέρων εἰς Θήβας. Τὸ μὲν οὖν συμφέρον[27] οὐ διέφυγε τοὺς τῶν Θηβαίων λογισμοὺς, ἀλλ' ἐν ὄμμασιν ἕκαστος εἶχε τὰ τοῦ πολέμυ δεινὰ, ἔτι τῶν Φωκικῶν τραυμάτων νεαρῶν παραμενόντων· ἡ δὲ τοῦ ῥήτορος δύναμις ἐκριπίζυσα τὸν θυμὸν αὐτῶν, καὶ διακαίυσα τὴν φιλοτιμίαν, ἐπεσκότησε τοῖς ἄλλοις ἅπασιν· ὥςτε φόβον καὶ λογισμὸν καὶ χάριν ἐκβαλεῖν αὐτοὺς, ἐνθουσιῶντας ὑπὸ τοῦ λόγου πρὸς τὸ καλόν.[28] Οὕτω δὲ μέγα καὶ λαμπρὸν ἐφάνη τὸ τοῦ ῥήτορος ἔργον, ὥςτε τὸν μὲν Φίλιππον εὐθὺς ἐπικηρυκεύεσθαι, δεόμενον εἰρήνης, ὀρθὴν[29] δὲ τὴν Ἑλλάδα γενέσθαι καὶ συνεξαναστῆναι πρὸς τὸ μέλλον, ὑπηρετεῖν δὲ μὴ μόνον τοὺς στρατηγοὺς τῷ Δημοσθένει ποιοῦντας τὸ προςταττόμενον, ἀλλὰ καὶ τὺς

23°. The Thebans had lately received great benefits from Philip in the Phocian war.—24°. *καὶ μάλιστα τῶν πολεμικῶν διαφορῶν* (*the hostile feuds*) *ταῖς πόλεσιν πρὸς ἀλλήλας ἀναξαινομένων ἑκάστοτε* (*being exasperated mutually*) *ταῖς ἀψιμαχίαις διὰ τὴν γειτνίασιν* (*by skirmishes arising from vicinity*).—25°. *ἐν τῇ ἐκκλησίᾳ*.—26°. *to adhere to the Thebans*.—27°. viz. the advantage of avoiding war and remaining in peace with the Macedonians; the Thebans having suffered severely in the Phocian war before their union with Philip.—28°. *καλὸν* is opposed to *συμφέρον*—29°. *in anxious expectation*.

Βοιωτάρχας,[30] *διοικεῖσθαι τε τὰς ἐκκλησίας ἁπάσας οὐδὲν ἧττον ὑπ᾽ ἐκείνȣ τότε τὰς Θηβαίων, ἢ τὰς Ἀθηναίων, ἀγαπωμένου παρ᾽ ἀμφοτέροις· καὶ δυναστεύοντος, οὐκ ἀδίκως, οὐδὲ παρ᾽ ἀξίαν, ἀλλὰ καὶ πάνυ προσηκόντως.*

Μέχρι μὲν οὖν τούτων ἀνὴρ ἦν ἀγαθός· ἐν δὲ τῇ μάχῃ καλὸν οὐδὲν, οὐδ᾽ ὁμολογούμενον[31] *ἔργον, οἷς εἶπεν, ἀποδειξάμενος, ᾤχετο λιπὼν*[32] *τὴν τάξιν, ἀποδρὰς αἴσχιστα, καὶ τὰ ὅπλα ῥίψας, οὐδὲ τὴν ἐπιγραφὴν τῆς ἀσπίδος, ὡς ἔλεγε Πυθέας, αἰσχυνθεὶς, ἐπιγεγραμμένης γράμμασι χρυσοῖς· Ἀ γ α θ ῇ τ ύ χ ῃ. Παραυτίκα μὲν οὖν ὁ Φίλιππος ἐπὶ τῇ νίκῃ διὰ τὴν χαρὰν ἐξυβρίσας, καὶ κωμάσας*[33] *ἐπὶ τοὺς νεκροὺς, μεθύων ᾖδε τὴν ἀρχὴν τοῦ Δημοσθένους ψηφίσματος, πρὸς πόδα διαιρῶν καὶ ὑποκρούων.*

Δημοσθένης Δημοσθένους Παιανιεὺς τάδ᾽ εἶπεν·[34] *ἐκνήψας δὲ καὶ τὸ μέγεθος τοῦ περιστάντος αὐτὸν ἀγῶνος ἐν νῷ λαβὼν, ἔφριττε τὴν δεινότητα καὶ τὴν δύναμιν τοῦ ῥήτορος, ἐν μέρει μικρῷ μιᾶς ἡμέρας τὸν ὑπὲρ τῆς ἡγεμονίας καὶ τοῦ σώματος ἀναῤῥῖψαι κίνδυνον ἀναγκασθεὶς ὑπ᾽ αὐτοῦ.*[35]

Τότε δὲ τῆς ἀτυχίας[36] *τοῖς Ἕλλησι γενομένης, οἱ μὲν ἀντιπολιτευόμενοι ῥήτορες, ἐπεμβαίνοντες τῷ Δημοσθένει, κατεσκεύαζον εὐθύνας καὶ γραφὰς ἐπ᾽ αὐτόν· ὁ δὲ δῆμος οὐ μόνον τούτων ἀπέλυεν, ἀλλὰ καὶ τιμῶν διετέλει,*[37] *καὶ προσκαλούμενος αὖθις, ὡς εὔνουν, εἰς τὴν πολιτείαν, ὥςτε καὶ τῶν ὀστέων ἐκ Χαιρωνείας κομι-*

30°. The heads of the Bœotian deputies assembled in Thebes.—31°. that is, *ὅμοιον*, *corresponding.*—32°. See Viger, p. 349.—33°. *marching insultingly.* —34°. These, the first words of the decree of the war proposed by Demosthenes, happen to form an Iambic tetrameter; hence, *πρὸς πόδα διαιρῶν* (*dividing by the measure*) *καὶ ὑποκρούων* (*and beating time with the foot*). *Παιανιεύς*, of Pæania a *demos* of Attica.—35°. *ἀναγκασθεὶς ὑπ᾽ αὐτοῦ ἀναῤῥῖψαι* (*to incur*) *τὸν κίνδυνον ὑπὲρ τῆς ἡγεμονίας καὶ τοῦ σώματος.*—36°. *the defeat* at Chæronæa.—37°. *continued to honor him.*

σθέντων καὶ θαπτομένων, τὸν ἐπὶ τοῖς ἀνδράσιν ἔπαινον[38] *εἰπεῖν, ἀπέδωκεν οὐ ταπεινῶς οὐδ᾽ ἀγεννῶς φέρων τὸ συμβεβηκος, ἀλλὰ τῷ τιμᾷν μάλιστα καὶ κοσμεῖν τὸν σύμβουλον ἀποδεικνύμενος τὸ μὴ μεταμέλεσθαι*[39] *τοῖς βεβουλευμένοις.*

* * * *

Ὡς Ἀντίπατρος καὶ Κρατερὸς[40] *ἠγγέλλοντο προσιόντες ἐπὶ τὰς Ἀθήνας, οἱ μὲν περὶ τὸν Δημοσθένη*[41] *φθάσαντες ὑπεξῆλθον ἐκ τῆς πόλεως, ὁ δὲ δῆμος αὐτῶν θάνατον κατέγνω, Δημάδου γράψαντος. Ἄλλων δ᾽ ἀλλαχοῦ διασπαρέντων, ὁ Ἀντίπατρος περιέπεμπε τȣ̀ς συλλαμβάνοντας, ὧν ἡγεμὼν ἦν Ἀρχίας, ὁ κληθεὶς Φυγαδοθήρας.*[42] *Τοῦτον δὲ, Θούριον*[43] *ὄντα τῷ γένει, λόγος ἔχει τραγῳδίας ὑποκρίνασθαί ποτε, καὶ τὸν Αἰγινήτην Πῶλον, τὸν ὑπερβαλόντα τῇ τέχνῃ πάντας, ἐκείνου γεγονέναι μαθητὴν ἱστοροῦσιν.*

Οὗτος οὖν ὁ Ἀρχίας τὸν Δεμοσθένη πυθόμενος ἱκέτην ἐν Καλαυρίᾳ ἐν τῷ ἱερῷ Ποσειδῶνος καθέζεσθαι, διαπλεύσας ὑπηρετικοῖς, καὶ ἀποβὰς μετὰ Θρακῶν δορυφόρων, ἔπειθεν[44] *ἀναβάντα βαδίζειν μετ᾽ αὐτοῦ πρὸς Ἀντίπατρον· ὡς δυσχερὲς πεισόμενον ȣ̓δέν.*[45] *Ὁ δὲ Δεμοσθένης ἐτύγχανεν ὄψιν ἑωρακὼς κατὰ τȣ̀ς ὕπνȣς ἐκείνης τῆς νυκτὸς ἀλλόκοτον. Ἐδόκει γὰρ ἀνταγωνίζεσθαι τῷ Ἀρχίᾳ τραγῳδίαν ὑποκρινόμενος· εὐημερῶν δὲ καὶ κατέχων τὸ θέατρον,*[46] *ἐνδείᾳ παρασκευῆς καὶ χορηγίας*[47]

38°. The *eulogy* usually pronounced over those who had fallen in battle.—39°. *μεταμέλεσθαι*, though here used without, is commonly used with a preposition, as *ἐπί*.—40°. Antipater and Craterus, generals of Alexander, who succeeded him in the European part of his monarchy.—41°. *Demosthenes and his friends*: *φθάσαντες*, Gram. § 145. Rem. 5. p. 297.—42°. *The Hunter of the Fugitives.*—43°. a native of Thurium, a Grecian colony in lower Italy. 44°. *endeavored to persuade.*—45°. that is, *λέγων, αὐτὸν οὐδὲν δυσχερὲς πείσεσθαι.*—46°. that is, *τοὺς θεατὰς εὐφραίνων*, so that he maintained his place on the stage.—47°. the wardrobe and other articles necessary for the representation, which the Choregus was obliged to furnish.

κρατεῖσθαι. Διὸ τοῦ Ἀρχίȣ πολλὰ φιλάνθρωπα διαλεχθέντος, ἀναϐλέψας[48] πρὸς αὐτὸν, ὥσπερ ἐτύγχανε καθήμενος· Ὦ Ἀρχία, εἶπεν, οὔτε ὑποκρινόμενός με ἔπεισας[49] πώποτε, οὔτε νῦν πείσεις ἐπαγγελλόμενος. Ἀρξαμένȣ δ᾽ ἀπειλεῖν τοῦ Ἀρχίου μετ᾽ ὀργῆς· Νῦν, ἔφη, λέγεις τὰ ἐκ τοῦ Μακεδονικοῦ τρίποδος,[50] ἄρτι δ᾽ ὑπεκρίνου. Μικρὸν οὖν ἐπίσχες, ὅπως ἐπιστείλω τι τοῖς οἴκοι. Καὶ ταῦτ᾽ εἰπὼν, ἐντὸς ἀνεχώρησε τοῦ ναοῦ· καὶ λαϐὼν βιϐλίον, ὡς γράφειν μέλλων προσήνεγκε τῷ στόματι τὸν κάλαμον, καὶ δακὼν,[51] ὥσπερ ἐν τῷ διανοεῖσθαι καὶ γράφειν εἰώθει, χρόνον τινὰ κατέσχεν, εἶτα συγκαλυψάμενος ἀπέκλινε τὴν κεφαλήν. Οἱ μὲν οὖν παρὰ τὰς θύρας ἑστῶτες δορυφόροι κατεγέλων ὡς ἀποδειλιῶντος αὐτοῦ, καὶ μαλακὸν ἐκάλȣν καὶ ἄνανδρον· ὁ δ᾽ Ἀρχίας προσελθὼν ἀνίστασθαι παρεκάλει, καὶ τοὺς αὐτοὺς ἀνακυκλῶν[52] λόγους, αὖθις ἐπηγγέλλετο διαλλαγὰς πρὸς τὸν Ἀντίπατρον. Ἤδη δὲ συνῃσθημένος ὁ Δημοσθένης ἐμπεφυκότος αὐτῷ τοῦ φαρμάκου καὶ κρατȣ̃ντος ἐξεκαλύψατο· καὶ διαϐλέψας πρὸς τὸν Ἀρχίαν, Οὐκ ἂν φθάνοις,[53] εἶπεν, ἤδη τὸν ἐκ τῆς τραγῳδίας ὑποκρινόμενος Κρέοντα, καὶ τὸ σῶμα τοῦτο ῥίπτων ἄταφον. Ἐγὼ δ᾽, ὦ φίλε Πόσειδον, ἔτι ζῶν ἐξανίσταμαι τοῦ ἱεροῦ·[54] τῷ δὲ Ἀντιπάτρῳ καὶ Μακεδόσιν οὐδ᾽ ὁ σὸς ναὸς καθαρὸς ὑπολέλειπται. Ταῦτ᾽, εἰπὼν καὶ κελεύσας ὑπολαϐεῖν αὐτὸν ἤδη τρέμοντα καὶ σφαλλόμενον, ἅμα τῷ προελθεῖν καὶ παραλλάξαι τὸν βωμὸν ἔπεσε, καὶ στενάξας ἀφῆκε τὴν ψυχήν.

41°. *Δημοσθένης.*–49°. *thou hast never persuaded me*, to think thee what thou appearedst in the play.—50°. *the truth, as thou hast it from the Macedonian tripod*, the command of Antipater.—51°. the pen contained poison.—52°. *repeating.*—53°. *Delay not now to play Creon in the tragedy*, who, in the Antigone of Sophocles, gives command to leave the body of Polynices unburied.—54°. because the presence of a dead body rendered a temple impure.

POETICAL EXTRACTS.

I.

The Meeting of Hector and Andromache.*

Ὣς ἄρα φωνήσας, ἀπέϐη κορυθαίολος Ἕκτωρ.
Αἶψα δ' ἔπειθ' ἵκανε δόμους εὐναιετάοντας,
Οὐδ' εὗρ' Ἀνδρομάχην λευκώλενον ἐν μεγάροισιν·
Ἀλλ' ἥγε ξὺν παιδὶ καὶ ἀμφιπόλῳ εὐπέπλῳ
Πύργῳ ἐφεστήκει γοόωσά τε, μυρομένη τε.
Ἕκτωρ δ' ὡς οὐκ ἔνδον ἀμύμονα τέτμεν ἄκοιτιν,
Ἔστη ἐπ' οὐδὸν ἰὼν, μετὰ δὲ δμωῇσιν ἔειπεν·
Εἰ δ', ἄγε μοι, δμωαὶ, νημερτέα μυθήσασθε·
Πῇ ἔϐη Ἀνδρομάχη λευκώλενος ἐκ μεγάροιο;
Ἠέ πη ἐς γαλόων, ἢ εἰνατέρων εὐπέπλων,
Ἦ ἐς Ἀθηναίης ἐξοίχεται, ἔνθα περ ἄλλαι
Τρωαί ἐϋπλόκαμον δεινὴν θεὸν ἱλάσκονται;
Τὸν δ' αὖτ' ὀτρηρὴ ταμίη πρὸς μῦθον ἔειπεν·
Ἕκτορ, ἐπεὶ μάλ' ἄνωγας ἀληθέα μυθήσασθαι·
Οὔτε πη ἐς γαλόων, οὔτ' εἰνατέρων εὐπέπλων,

V. 1. Hector had been conversing with Helen, in the house of his brother.—V. 7. *Εἰ δ', ἄγε.* The precise signification of *εἰ* in this place is uncertain. The phrase is probably elliptical; *εἰ δὲ βούλεσθε, if you please.*—V. 9. *μεγάροιο.* Gram. § 35. 2. p. 42.—V. 10. *οἶκον* is understood after the genitives in this and the next line.

---

* Homer's Iliad, VI. 369.

Οὔτ' ἐς Ἀθηναίης ἐξοίχεται, ἔνθα περ ἄλλαι
Τρωαὶ ἐϋπλόκαμον δεινὴν θεὸν ἱλάσκονται·
Ἀλλ' ἐπὶ πύργον ἔβη μέγαν Ἰλίου, οὕνεκ' ἄκουσεν
Τείρεσθαι Τρῶας, μέγα δὲ κράτος εἶναι Ἀχαιῶν.
Ἡ μὲν δὴ πρὸς τεῖχος ἐπειγομένη ἀφικάνει,
Μαινομένῃ εἰκυῖα· φέρει δ' ἅμα παῖδα τιθήνη.
Ἦ ῥα γυνὴ ταμίη· ὁ δ' ἀπέσσυτο δώματος Ἕκτωρ,
Τὴν αὐτὴν ὁδὸν αὖτις, ἐϋκτιμένας κατ' ἀγυιάς.
Εὖτε πύλας ἵκανε, διερχόμενος μέγα ἄστυ,
Σκαιάς—τῇ γὰρ ἔμελλε διεξίμεναι πεδίονδε—
Ἔνθ' ἄλοχος πολύδωρος ἐναντίη ἦλθε θέουσα,
Ἀνδρομάχη, θυγάτηρ μεγαλήτορος Ἠετίωνος,
Ἠετίων, ὃς ἔναιεν ὑπὸ Πλάκῳ ὑληέσσῃ,
Θήβῃ Ὑποπλακίῃ, Κιλίκεσσ' ἄνδρεσσιν ἀνάσσων·
Τοῦ περ δὴ θυγάτηρ ἔχεθ' Ἕκτορι χαλκοκορυστῇ.
Ἥ οἱ ἔπειτ' ἤντησ', ἅμα δ' ἀμφίπολος κίεν αὐτῇ,
Παῖδ' ἐπὶ κόλπῳ ἔχουσ' ἀταλάφρονα, νήπιον αὔτως,
Ἑκτορίδην ἀγαπητὸν, ἀλίγκιον ἀστέρι καλῷ·
Τόν ῥ' Ἕκτωρ καλέεσκε Σκαμάνδριον, αὐτὰρ οἱ ἄλλοι
Ἀστυάνακτ'· οἶος γὰρ ἐρύετο Ἴλιον Ἕκτωρ.
Ἤτοι ὁ μὲν μείδησεν ἰδὼν ἐς παῖδα σιωπῇ·
Ἀνδρομάχη δέ οἱ ἄγχι παρίστατο δακρυχέουσα,

V. 18. *πύργον*, one of the towers in the wall, from which a view could be had of the field of battle.—V. 20. *ἀφικάνει*, the present tense for the aorist.—V. 21. *μαίνεσθαι* is used of any excessive passion; here of grief and care.—V. 22. *Ἦ* for *ἔφη*, from *ἠμί*.—V. 25. *τῇ* for *ταύτῃ*, *there, on that spot: διεξίμεναι* for *διεξίεναι*, Gram. § 107. III. 1. p. 193. compared with § 103. IV. 4. p. 157.—V. 28. *Ἠετίων*, the nominative case here is not strictly grammatical. The connection requires the genitive, but such a license is common.—*ὑπὸ Πλάκῳ*. *Πλάκος* (feminine), the name of a mountain in Asia Minor. The city *Thebe*, at its foot, was called *ὑποπλακίη*, to distinguish it from others of the same name.—V. 30. *ἔχεθ'* (*ἔχετο*) *Ἕκτορι*, equivalent to *ἄλοχος ἦν Ἕκτορος*.—V. 35. *Ἀστυάνακτ'*, honoring the father in the name of the son.

Ἐν τ' ἄρα οἱ φῦ χειρὶ, ἔπος τ' ἔφατ', ἐκ τ' ὀνόμαζεν·
Δαιμόνιε, φθίσει σε τὸ σὸν μένος, οὐδ' ἐλεαίρεις
Παῖδά τε νηπίαχον, καὶ ἔμ' ἄμμορον, ἣ τάχα χήρη
Σεῦ ἔσομαι· τάχα γάρ σε κατακτανέουσιν Ἀχαιοὶ,
Πάντες ἐφορμηθέντες· ἐμοὶ δέ κε κέρδιον εἴη,
Σεῦ ἀφαμαρτούσῃ, χθόνα δύμεναι· οὐ γὰρ ἔτ' ἄλλη
Ἔσται θαλπωρὴ, ἐπεὶ ἂν σύγε πότμον ἐπίσπῃς,
Ἀλλ' ἄχε'· οὐδέ μοί ἐστι πατὴρ καὶ πότνια μήτηρ.
Ἤτοι γὰρ πατέρ' ἁμὸν ἀπέκτανε δῖος Ἀχιλλεὺς,
Ἐκ δὲ πόλιν πέρσεν Κιλίκων εὐναιετάωσαν,
Θήβην ὑψίπυλον· κατὰ δ' ἔκτανεν Ἠετίωνα,
Οὐδέ μιν ἐξενάριξε· σεβάσσατο γὰρ τόγε θυμῷ·
Ἀλλ' ἄρα μιν κατέκηε σὺν ἔντεσι δαιδαλέοισιν,
Ἠδ' ἐπὶ σῆμ' ἔχεεν· περὶ δὲ πτελέας ἐφύτευσαν
Νύμφαι ὀρεστιάδες, κοῦραι Διὸς αἰγιόχοιο.
Οἳ δέ μοι ἑπτὰ κασίγνητοι ἔσαν ἐν μεγάροισιν,
Οἱ μὲν πάντες ἰῷ κίον ἤματι Ἄϊδος εἴσω·
Πάντας γὰρ κατέπεφνε ποδάρκης δῖος Ἀχιλλεὺς,
Βουσὶν ἐπ' εἰλιπόδεσσι καὶ ἀργεννῇς ὀΐεσσιν.
Μητέρα δ', ἣ βασίλευεν ὑπὸ Πλάκῳ ὑλήεσσῃ,
Τὴν ἐπεὶ ἂρ δεῦρ' ἤγαγ' ἅμ' ἄλλοισι κτεάτεσσιν,
Ἂψ ὅγε τὴν ἀπέλυσε, λαβὼν ἀπερείσι' ἄποινα·
Πατρὸς δ' ἐν μεγάροισι βάλ' Ἄρτεμις ἰοχέαιρα.

V. 38. *Ἐν τ' ἄρα οἱ φῦ* for *ἐνέφυ αὐτῷ*, *she seized his hand*, as it were *growing to it*, for this is the literal meaning of *ἐμφύομαι*.—V. 43. *δύμεναι* for *δῦναι*.—V. 44. *ἐπίσπῃς*, aorist from *ἐφέπω*, see *ἕπω*, Gram. § 114. p. 217. *ἐπισπεῖν τὸν πότμον*, *to follow, to hasten after death:* equal to *θανεῖν* or *ὀλέσθαι*.—V. 46. In the first years of the war against Troy, Achilles laid waste the neighboring regions.—V. 54. *οἱ μὲν* for *οὗτοι μέν*. *The seven brothers whom I had at home, they all* (*οἱ μὲν πάντες*) *in one day* (*ἰῷ ἤματι*) *entered within the realms of Hades.*—V. 57. *Μητέρα*, the accusative here is not strictly grammatical.—V. 58 and 59. *τὴν* for *αὐτήν*.—V. 60. that is, *she died suddenly.*

Ἕκτορ, ἀτὰρ σύ μοί ἐσσι πατὴρ καὶ πότνια μήτηρ,
Ἠδὲ κασίγνητος, σὺ δέ μοι θαλερὸς παρακοίτης.
Ἀλλ' ἄγε νῦν ἐλέαιρε, καὶ αὐτοῦ μίμν' ἐπὶ πύργῳ,
Μὴ παῖδ' ὀρφανικὸν θείης, χήρην τε γυναῖκα·
Λαὸν δὲ στῆσον παρ' ἐρινεὸν, ἔνθα μάλιστα
Ἀμβατός ἐστι πόλις, καὶ ἐπίδρομον ἔπλετο τεῖχος.
Τρὶς γὰρ τῇγ' ἐλθόντες ἐπειρήσανθ' οἱ ἄριστοι,
Ἀμφ' Αἴαντε δύω καὶ ἀγακλυτὸν Ἰδομενῆα,
Ἠδ' ἀμφ' Ἀτρείδας καὶ Τυδέος ἄλκιμον υἱόν·
Ἤ πού τίς σφιν ἔνισπε θεοπροπίων εὖ εἰδὼς,
Ἤ νυ καὶ αὐτῶν θυμὸς ἐποτρύνει καὶ ἀνώγει.
Τὴν δ' αὖτε προσέειπε μέγας κορυθαίολος Ἕκτωρ·
Ἦ καὶ ἐμοὶ τάδε πάντα μέλει, γύναι· ἀλλὰ μάλ' αἰνῶς
Αἰδέομαι Τρῶας καὶ Τρῳάδας ἑλκεσιπέπλους,
Αἴ κε, κακὸς ὣς νόσφιν ἀλυσκάζω πολέμοιο·
Οὐδέ με θυμὸς ἄνωγεν, ἐπεὶ μάθον ἔμμεναι ἐσθλὸς
Αἰεὶ, καὶ πρώτοισι μετὰ Τρώεσσι μάχεσθαι,
Ἀρνύμενος πατρός τε μέγα κλέος ἠδ' ἐμὸν αὐτοῦ.
Εὖ γὰρ ἐγὼ τόδε οἶδα κατὰ φρένα καὶ κατὰ θυμὸν,
Ἔσσεται ἦμαρ, ὅτ' ἄν ποτ' ὀλώλῃ Ἴλιος ἱρὴ,
Καὶ Πρίαμος καὶ λαὸς ἐϋμμελίω Πριάμοιο.
Ἀλλ' οὔ μοι Τρώων τόσσον μέλει ἄλγος ὀπίσσω,
Οὔτ' αὐτῆς Ἑκάβης, οὔτε Πριάμοιο ἄνακτος,
Οὔτε κασιγνήτων, οἵ κεν πολέες τε καὶ ἐσθλοὶ
Ἐν κονίῃσι πέσοιεν ὑπ' ἀνδράσι δυσμενέεσσιν,

V. 64. *θείῃς* subjunctive for *θέῃς*, and this for *θῇς*.—V. 70. *ἔνισπε* is the second aorist of the irregular verb *ἐννέπω*.—*θεοπροπίων εὖ εἰδὼς*, *skilled in prophesyings.*—V. 75. *αἴ κε* is equal to *εἴ κε*.—*νόσφιν ἀλυσκάζω πολέμοιο*, *if I wander far from the war.*—V. 76. *μάθον* Gram. § 82. Rem. 4. p. 90.—*ἔμμεναι*, see note to verse 25.—V. 78, *ἐμὸν αὐτοῦ· ἐμὸν* supplies the place of a genitive (*ἐμοῦ*), with which *αὐτοῦ* is in apposition.—V. 81. *Ἐϋμμελίης*, Gen. *ἐϋμμελίαο*, Ion. *-εω*, Contr. *-ω*. Gram. § 34. Rem. IV. 2 and 4. p. 40.

Ὅσσον σεῖ', ὅτε κέν τις Ἀχαιῶν χαλκοχιτώνων
Δακρυόεσσαν ἄγηται, ἐλεύθερον ἦμαρ ἀπούρας·
Καί κεν ἐν Ἄργει ἐοῦσα, πρὸς ἄλλης ἱστὸν ὑφαίνοις,
Καί κεν ὕδωρ φορέοις Μεσσηΐδος ἢ Ὑπερείης,
Πόλλ' ἀεκαζομένη, κρατερὴ δ' ἐπικείσετ' ἀνάγκη·
Καί ποτέ τις εἴπῃσιν, ἰδὼν κατὰ δάκρυ χέουσαν·
Ἕκτορος ἥδε γυνὴ, ὃς ἀριστεύεσκε μάχεσθαι
Τρώων ἱπποδάμων, ὅτε Ἴλιον ἀμφεμάχοντο.
Ὥς ποτέ τις ἐρέει· σοὶ δ' αὖ νέον ἔσσεται ἄλγος
Χήτει τοιοῦδ' ἀνδρὸς, ἀμύνειν δούλιον ἦμαρ.
Ἀλλά με τεθνηῶτα χυτὴ κατὰ γαῖα καλύπτοι,
Πρίν γ' ἔτι σῆς τε βοῆς, σοῦ θ' ἑλκηθμοῖο πυθέσθαι!
Ὣς εἰπὼν, οὗ παιδὸς ὀρέξατο φαίδιμος Ἕκτωρ.
Ἂψ δ' ὁ πάϊς πρὸς κόλπον ἐϋζώνοιο τιθήνης
Ἐκλίνθη ἰάχων, πατρὸς φίλου ὄψιν ἀτυχθεὶς,
Ταρβήσας χαλκόν τε, ἰδὲ λόφον ἱππιοχαίτην,
Δεινὸν ἀπ' ἀκροτάτης κόρυθος νεύοντα νοήσας.
Ἐκ δ' ἐγέλασσε πατήρ τε φίλος καὶ πότνια μήτηρ.
Αὐτίκ' ἀπὸ κρατὸς κόρυθ' εἵλετο φαίδιμος Ἕκτωρ,
Καὶ τὴν μὲν κατέθηκεν ἐπὶ χθονὶ παμφανόωσαν·
Αὐτὰρ ὅγ' ὃν φίλον υἱὸν ἐπεὶ κύσε, πῆλέ τε χερσὶν,
Εἶπεν ἐπευξάμενος Διΐ τ', ἄλλοισίν τε θεοῖσιν·
Ζεῦ, ἄλλοι τε θεοὶ, δότε δὴ καὶ τόνδε γενέσθαι
Παῖδ' ἐμὸν, ὡς καὶ ἐγώ περ, ἀριπρεπέα Τρώεσσιν,

V. 86. σεῖο. Gram. § 72. Rem. 4. b). p. 33.—V. 87. ἐλεύθερον ἦμαρ, that is, ἐλευθερίαν· ἀπούρας, see Lexicon.—V. 88. πρὸς ἄλλης, *aliâ jubente.*—V. 91. καί ποτέ τις εἴπῃσιν (εἴπῃ), the subjunctive often thus expresses probability. *Then haply some one may say.*—καταχέουσαν δάκρυ.—V. 92. ἀριστεύεσκε, Gram. § 103. III. I. p. 155. V. 95. δούλιον ἦμαρ for δουλεία. The construction is ἀνδρὸς, τοιοῦδε (*capable*) ἀμύνειν, &c.—V. 106. We must understand τὸν δὲ υἱὸν ἔλαβε.—πῆλε from πάλλω.—V. 108. δὴ is often used with the imperative to strengthen its force. The construction here is, δότε καὶ τόνδε παῖδα ἐμὸν γένεσθαι ἀριπρεπέα ὥσπερ καὶ ἐγὼ (ἀριπρεπής εἰμι).

Ὧδε βίην τ' ἀγαθὸν, καὶ Ἰλίου ἶφι ἀνάσσειν·
Καί ποτέ τις εἴπῃσι· Πατρὸς δ' ὅγε πολλὸν ἀμείνων!
Ἐκ πολέμου ἀνιόντα· φέροι δ' ἔναρα βροτόεντα,
Κτείνας δήϊον ἄνδρα, χαρείη δὲ φρένα μήτηρ.
  Ὣς εἰπὼν, ἀλόχοιο φίλης ἐν χερσὶν ἔθηκεν
Παῖδ' ἑόν· ἡ δ' ἄρα μιν κηώδεϊ δέξατο κόλπῳ,
Δακρυόεν γελάσασα. Πόσις δ' ἐλέησε νοήσας,
Χειρί τέ μιν κατέρεξεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
  Δαιμονίη, μή μοί τι λίην ἀκαχίζεο θυμῷ!
Οὐ γάρ τίς μ' ὑπὲρ αἶσαν ἀνὴρ Ἄϊδι προϊάψει·
Μοῖραν δ' οὔτινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν,
Οὐ κακὸν, οὐδὲ μὲν ἐσθλὸν ἐπὴν τὰ πρῶτα γένηται.
Ἀλλ' εἰς οἶκον ἰοῦσα τὰ σ' αὐτῆς ἔργα κόμιζε,
Ἱστόν τ', ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε
Ἔργον ἐποίχεσθαι· πόλεμος δ' ἄνδρεσσι μελήσει
Πᾶσιν, ἐμοὶ δὲ μάλιστα, τοὶ Ἰλίῳ ἐγγεγάασιν.
  Ὣς ἄρα φωνήσας, κόρυθ' εἵλετο φαίδιμος Ἕκτωρ
Ἵππουριν· ἄλοχος δὲ φίλη οἶκόνδε βεβήκει,
Ἐντροπαλιζομένη, θαλερὸν κατὰ δάκρυ χέουσα.
Αἶψα δ' ἔπειθ' ἵκανε δόμους εὖ ναιετάοντας
Ἕκτορος ἀνδροφόνοιο· κιχήσατο δ' ἔνδοθι πολλὰς
Ἀμφιπόλους, τῇσιν δὲ γόον πάσῃσιν ἐνῶρσεν.
Αἱ μὲν ἔτι ζωὸν γόον Ἕκτορα ᾧ ἐνὶ οἴκῳ·
Οὐ γάρ μιν ἔτ' ἔφαντο ὑπότροπον ἐκ πολέμοιο
Ἵξεσθαι, προφυγόντα μένος καὶ χεῖρας Ἀχαιῶν.

V. 110. ἀνάσσειν is governed by δότε.—V. 111. καί ποτέ, &c. See V. 91.—V. 112. ἀνιόντα governed by εἴπῃσι.—V. 113. χαρείη, opt. aor. pass.—V. 119. *contrary to fate.*—V. 125. ἐγγεγάασιν, the poetical form for ἐγγεγόνασι.—V. 132. γόον in this verse is, according to some grammarians, a syncopated form of ἐγόαον, ἐγόων· and according to others a 2d aorist, ἐγόον, with the omission of the Augment.—V. 133. μιν, though short, is made long by being in the *arsis* of the foot.

II.

*Jupiter commands the Gods to remain neutral.**

Ἠὼς μὲν κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ' αἶαν·
Ζεὺς δὲ θεῶν ἀγορὴν ποιήσατο τερπικέραυνος
Ἀκροτάτῃ κορυφῇ πολυδειράδος Οὐλύμποιο.
Αὐτὸς δέ σφ' ἀγόρευε, θεοὶ δ' ὑπὸ πάντες ἄκουον·
Κέκλυτέ μευ, πάντες τε θεοὶ, πᾶσαί τε θέαιναι,
Ὄφρ' εἴπω, τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
Μήτε τις οὖν θήλεια θεὸς τόγε, μήτε τις ἄρσην
Πειράτω διακέρσαι ἐμὸν ἔπος· ἀλλ' ἅμα πάντες
Αἰνεῖτ' ὄφρα τάχιστα τελευτήσω τάδε ἔργα.
Ὃν δ' ἂν ἐγὼν ἀπάνευθε θεῶν ἐθέλοντα νοήσω
Ἐλθόντ' ἢ Τρώεσσιν ἀρηγέμεν ἢ Δαναοῖσιν,
Πληγεὶς οὐ κατὰ κόσμον, ἐλεύσεται Οὔλυμπόνδε·
Ἤ μιν ἑλὼν ῥίψω ἐς Τάρταρον ἠερόεντα,
Τῆλε μάλ', ἧχι βάθιστον ὑπὸ χθονός ἐστι βέρεθρον·
Ἔνθα σιδήρειαί τε πύλαι καὶ χάλκεος οὐδὸς,
Τόσσον ἔνερθ' Ἀΐδεω, ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης·
Γνώσετ' ἔπειθ', ὅσον εἰμὶ θεῶν κάρτιστος ἁπάντων.

V. 3. Οὐλύμποιο, the summit of a chain of mountains in Thessaly, which the ancient Greeks made the abode of the Gods.—V. 4. σφ', that is σφὶ, for αὐτοῖς.—θεοὶ δ' ὑπήκουον πάντες.—V. 8. διακέρσαι, ancient form of the aorist from διακείρω (like ὄρσω from ὄρω, κέλσο from κέλλω). *To cut off* (διακέρσαι) *a command* (ἔπος) is *to disobey it.* Jupiter does not immediately announce his decree, but implies it in the punishment denounced. In the tenth verse, however he proceeds, ὃν δ' ἂν ἐγὼ, as if he had previously said μή τις θεῶν ἀρηγέτω, &c.—V. 10. ἐθέλοντα must be construed with ἐλθόντα, in the next line; *voluntarily coming.*—V. 15. πύλαι, *the gates* which separate *Tartarus* from *Hades.*—V. 17. ἔπειθ' for τότε.

---

* Iliad VIII. 1—29.

Εἰ δ', ἄγε, πειρήσασθε, θεοί, ἵνα εἴδετε πάντες,
Σειρὴν χρυσείην ἐξ οὐρανόθεν κρεμάσαντες,
Πάντες δ' ἐξάπτεσθε θεοὶ, πᾶσαί τε θέαιναι·
Ἀλλ' οὐκ ἂν ἐρύσαιτ' ἐξ οὐρανόθεν πεδίονδε
Ζῆν', ὕπατον μήστωρ', οὐδ' εἰ μάλα πολλὰ κάμοιτε.
Ἀλλ' ὅτε δὴ καὶ ἐγὼ πρόφρων ἐθέλοιμι ἐρύσσαι,
Αὐτῇ κεν γαίῃ ἐρύσαιμ', αὐτῇ τε θαλάσσῃ·
Σειρὴν μέν κεν ἔπειτα περὶ ῥίον Οὐλύμποιο
Δησαίμην· τὰ δέ κ' αὖτε μετήορα πάντα γένοιτο.
Τόσσον ἐγὼ περί τ' εἰμὶ θεῶν, περί τ' εἴμ' ἀνθρώπων.
  Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ,
Μῦθον ἀγασσάμενοι· μάλα γὰρ κρατερῶς ἀγόρευσεν.

III.

*The Triumph of Achilles over the dead Body of Hector, and the Lament of Andromache.**

  Τὸν δ' ἐπεὶ ἐξενάριξε ποδάρκης δῖος Ἀχιλλεὺς,
Στὰς ἐν Ἀχαιοῖσιν ἔπεα πτερόεντ' ἀγόρευεν·
  Ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
Ἐπειδὴ τόνδ' ἄνδρα θεοὶ δαμάσασθαι ἔδωκαν,

V. 18. *Εἰ δ', ἄγε.* See above, p. 229, V. 8.— εἴδετε is here put by poetical license for εἴδητε in the subjunctive mood.—V. 19. ἐξ οὐρανόθεν, a common pleonasm of the proposition.—V. 23. ὅτε δὴ καὶ ἐγώ, *but when I, in my turn* (καί).—V. 24. σειρὴν is understood after ἐρυσαίμ'.—The preposition σύν is often thus omitted before αὐτός.—V. 25. περὶ ῥίον Οὐλύμποιο. Olympus is here represented as detached from the earth, a separate celestial region.—V. 28. ἀκὴν ἐγένοντο σιωπῇ is equivalent to ἡσυχίαν ἦγαγον σιωπήσαντες. The expression ἀκὴν ἐγένοντο is of uncertain construction, and was obscure even to the acient grammarians.

V. 4. ἐπειδή, the first syllable is long here in the *arsis* of the foot.

---

* Iliad, XXII. 275—515.

Ὃς κακὰ πόλλ᾽ ἔῤῥεξεν, ὅσ᾽ οὐ σύμπαντες οἱ ἄλλοι·
Εἰ δ᾽, ἄγετ᾽, ἀμφὶ πόλιν σὺν τεύχεσι πειρηθῶμεν,
Ὄφρα κ᾽ ἔτι γνῶμεν Τρώων νόον, ὅντιν᾽ ἔχουσιν·
Ἢ καταλείψουσιν πόλιν ἄκρην, τοῦδε πεσόντος,
Ἠὲ μένειν μεμάασι, καὶ Ἕκτορος οὐκέτ᾽ ἐόντος.
Ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
Κεῖται πὰρ νήεσσι νέκυς ἄκλαυτος, ἄθαπτος,
Πάτροκλος· τοῦ δ᾽ οὐκ ἐπιλήσομαι, ὄφρ᾽, ἔγωγε
Ζωοῖσιν μετέω, καί μοι φίλα γούνατ᾽ ὀρώρῃ.
Εἰ δὲ θανόντων περ καταλήθοντ᾽ εἰν Ἀΐδαο,
Αὐτὰρ ἐγὼ καὶ κεῖθι φίλου μεμνήσομ᾽ ἑταίρου.
Νῦν δ᾽ ἄγ᾽, ἀείδοντες παιήονα, κοῦροι Ἀχαιῶν,
Νηυσὶν ἔπι γλαφυρῇσι νεώμεθα, τόνδε δ᾽ ἄγωμεν.
Ἠράμεθα μέγα κῦδος· ἐπέφνομεν Ἕκτορα δῖον,
Ὧ, Τρῶες κατὰ ἄστυ, θεῷ ὥς, εὐχετόωντο.
  Ἦ ῥα, καὶ Ἕκτορα δῖον ἀεικέα μήδετο ἔργα.
Ἀμφοτέρων μετόπισθε ποδῶν τέτρηνε τένοντε
Ἐς σφυρὸν ἐκ πτέρνης, βοέους δ᾽ ἐξῆπτεν ἱμάντας,
Ἐκ δίφροιο δ᾽ ἔδησε· κάρη δ᾽ ἕλκεσθαι ἔασεν·
Ἐς δίφρον δ᾽ ἀναβὰς, ἀνά τε κλυτὰ τεύχε᾽ ἀείρας,
Μάστιξεν δ᾽ ἐλάαν, τὼ δ᾽ οὐκ ἄκοντε πετέσθην.
Τοῦ δ᾽ ἦν ἑλκομένοιο κονίσσαλος· ἀμφὶ δὲ χαῖται
Κυάνεαι πίλναντο, κάρη δ᾽ ἅπαν ἐν κονίῃσιν
Κεῖτο, πάρος χαρίεν· τότε δὲ Ζεὺς δυσμενέεσσιν
Δῶκεν ἀεικίσσασθαι ἑῇ ἐν πατρίδι γαίῃ.

V. 6. Εἰ δ᾽, ἄγετ᾽. See above, p. 229. V. 8.—σύν τεύχεσι, that is, *armed as we are.*—V. 11. ἄκλαυτος, that is, not yet honored with the solemn lamentation over the dead.—V. 13. μετέω for μετῶ, from μέτειμι.—V. 14. καταλήθονται, that is, οἱ ἄλλοι· *although others of the dead* (τῶν θανόντων) *are forgotten in Hades, yet will I even there,* &c.—V. 20. μήδεσθαι, like ποιεῖν, λέγειν, &c. governs two accusatives, one of the person and the other of the thing.—V. 24. τεύχεα, *the arms* of Hector.—V. 25. τώ, the horses.—V. 26. ἦν (ἐκινεῖτο) κόνις, τοῦ (Ἕκτορος) ἑλκομένου.—V. 27. πίλναντο (προςεπελάζοντο) ταῖς κονίαις.

Ὣς τοῦ μὲν κεκόνιτο κάρη ἅπαν· ἡ δέ νυ μήτηρ
Τίλλε κόμην, ἀπὸ δὲ λιπαρὴν ἔῤῥιψε καλύπτρην
Τηλόσε· κώκυσεν δὲ μάλα μέγα, παῖδ' ἐςιδοῦσα.
Ὤμωξεν δ' ἐλεεινὰ πατὴρ φίλος, ἀμφὶ δὲ λαοὶ
Κωκυτῷ τ' εἴχοντο καὶ οἰμωγῇ κατὰ ἄστυ·
Τῷ δὲ μάλιστ' ἄρ' ἔην ἐναλίγκιον, ὡς εἰ ἅπασα
Ἴλιος ὀφρυόεσσα πυρὶ σμύχοιτο κατ' ἄκρης.
Λαοὶ μέν ῥα γέροντα μόγις ἔχον ἀσχαλόωντα,
Ἐξελθεῖν μεμαῶτα πυλάων Δαρδανιάων.
Πάντας δ' ἐλλιτάνευε, κυλινδόμενος κατὰ κόπρον,
Ἐξονομακλήδην ὀνομάζων ἄνδρα ἕκαστον·
  Σχέσθε, φίλοι, καὶ μ' οἶον ἐάσατε, κηδόμενοί περ,
Ἐξελθόντα πόληος, ἱκέσθ' ἐπὶ νῆας Ἀχαιῶν,
Λίσσωμ' ἀνέρα τοῦτον ἀτάσθαλον, ὀβριμοεργὸν,
Ἤν πως ἡλικίην αἰδέσσεται, ἠδ' ἐλεήσῃ
Γῆρας, καὶ δέ νυ τῷδε πατὴρ τοιόςδε τέτυκται,
Πηλεὺς, ὅς μιν ἔτικτε καὶ ἔτρεφε, πῆμα γενέσθαι
Τρωσί· μάλιστα δ' ἐμοὶ περὶ πάντων ἄλγε' ἔθηκεν.
Τόσσους γάρ μοι παῖδας ἀπέκτανε τηλεθάοντας·
Τῶν πάντων οὐ τόσσον ὀδύρομαι, ἀχνύμενός περ,
Ὡς ἑνὸς, οὗ μ' ἄχος ὀξὺ κατοίσεται Ἄϊδος εἴσω,
Ἕκτορος· ὡς ὄφελεν θανέειν ἐν χερσὶν ἐμῇσιν!
Τῷ κε κορεσσάμεθα κλαίοντέ τε, μυρομένω τε,
Μήτηρ θ', ἥ μιν ἔτικτε, δυςάμμορος, ἠδ' ἐγὼ αὐτός.

V. 30. Hecuba and many others had, from the walls of Troy, witnessed the progress and event of the battle between Achilles and Hector.—V. 35. *Τῷ δὲ* followed by *ὡς εἰ* is not a strictly grammatical construction. The sense is, *It was most like to that* (*τῷ*), which would have arisen, *if all Ilium had been wrapped in flames.*—V. 37. *ἔχον*, that is, *κατεῖχον*, *restrained.* V. 41. *σχέσθε*, *forbear* to detain me.—V. 44. *αἰδέσσεται* by syncope for *αἰδέσηται.*—V. 45. *for he also had such* (*τοιόςδε*) *a father*, that is, *aged like me.*—V. 49. *τῶν πάντων.* Gram. § 132. 5. a). p. 269.—V. 52. *τῷ κε*, *whereby.*

Ὣς ἔφατο κλαίων· ἐπὶ δὲ στενάχοντο πολῖται·
Τρωῇσιν δ' Ἑκάβη ἁδινοῦ ἐξῆρχε γόοιο·
Τέκνον, ἐγὼ δειλὴ τί νυ βείομαι, αἰνὰ παθοῦσα,
Σεῦ ἀποτεθνηῶτος; ὅ μοι νύκτας τε καὶ ἦμαρ
Εὐχωλὴ κατὰ ἄστυ πελέσκεο, πᾶσί τ' ὄνειαρ,
Τρωσί τε καὶ Τρωῇσι κατὰ πτόλιν, οἵ σε, θεὸν ὥς,
Δειδέχατ'· ἦ γάρ κέ σφι μάλα μέγα κῦδος ἔηςθα,
Ζωὸς ἐών· νῦν αὖ θάνατος καὶ Μοῖρα κιχάνει!
Ὣς ἔφατο κλαίουσ'· ἄλοχος δ' οὔπω τι πέπυστο
Ἕκτορος· οὐ γάρ οἵ τις ἐτήτυμος ἄγγελος ἐλθὼν
Ἤγγειλ', ὅττι ῥά οἱ πόσις ἔκτοθι μίμνε πυλάων.
Ἀλλ' ἥγ' ἱστὸν ὕφαινε, μυχῷ δόμου ὑψηλοῖο,
Δίπλακα πορφυρέην, ἐν δὲ θρόνα ποικίλ' ἔπασσεν.
Κέκλετο δ' ἀμφιπόλοισιν ἐϋπλοκάμοις κατὰ δῶμα,
Ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν, ὄφρα πέλοιτο
Ἕκτορι θερμὰ λοετρὰ μάχης ἐκ νοστήσαντι·
Νηπίη, οὐδ' ἐνόησεν, ὅ μιν μάλα τῆλε λοετρῶν
Χερσὶν Ἀχιλλῆος δάμασε γλαυκῶπις Ἀθήνη.
Κωκυτοῦ δ' ἤκουσε καὶ οἰμωγῆς ἀπὸ πύργου,
Τῆς δ' ἐλελίχθη γυῖα, χαμαὶ δέ οἱ ἔκπεσε κερκίς·
Ἡ δ' αὖτις δμωῇσιν ἐϋπλοκάμοισι μετηύδα·
Δεῦτε, δύω μοι ἕπεσθον, ἴδωμ', ὅτιν' ἔργα τέτυκται.
Αἰδοίης ἑκυρῆς ὀπὸς ἔκλυον· ἐν δ' ἐμοὶ αὐτῇ
Στήθεσι πάλλεται ἦτορ ἀνὰ στόμα, νέρθε δὲ γοῦνα
Πήγνυται· ἐγγὺς δή τι κακὸν Πριάμοιο τέκεσσιν.

V. 56. *βείομαι* from *βέομαι*, which is equivalent to *βαίνω*, *to go*, that is, *to live*. Some grammarians however explain it as derived from *βιώσομαι*.—V. 57. *ὅ μοι* for *ὅς μοι*.—V. 58. *πελέσκεο* for *ἐπέλου*, *wert*.—V. 60. *δειδέχατο* from *δέχομαι*, with stengthened reduplication. See Gram. § 103. III. 5. p. 156.—V. 60–61. *ζωὸς ἐών*, *hadst thou lived*, *ἔηςθα* (*ἦς*) *κέ* (*ἄν*), *hadst thou been*.—V. 70. *ὅ μιν* for *ὅτι μιν*.—V. 75. *ὅτιν' ἔργα* for *ἅτινα*.—V. 77. *στήθεσι* is added, as a farther explanation of *ἐμοὶ αὐτῇ*.

Αἲ γὰρ ἀπ᾽ οὔατος εἴη ἐμεῦ ἔπος! ἀλλὰ μάλ᾽ αἰνῶς
Δείδω, μὴ δή μοι θρασὺν Ἕκτορα δῖος Ἀχιλλὺς,
Μοῦνον ἀποτμήξας πόλιος, πεδίονδε δίηται,
Καὶ δή μιν καταπαύσῃ ἀγηνορίης ἀλεγεινῆς,
Ἥ μιν ἔχεσκ᾽· ἐπεὶ οὔποτ᾽ ἐνὶ πληθύι μένεν ἀνδρῶν,
Ἀλλὰ πολὺ προθέεσκε, τὸ ὃν μένος οὐδενὶ εἴκων.
Ὣς φαμένη, μεγάροιο διέσσυτο, μαινάδι ἴση,
Παλλομένη κραδίην· ἅμα δ᾽ ἀμφίπολοι κίον αὐτῇ.
Αὐτὰρ ἐπεὶ πύργον τε καὶ ἀνδρῶν ἷξεν ὅμιλον,
Ἔστη παπτήνασ᾽ ἐπὶ τείχεϊ· τὸν δ᾽ ἐνόησεν
Ἑλκόμενον πρόσθεν πόλιος· ταχέες δέ μιν ἵπποι
Ἕλκον ἀκηδέστως κοίλας ἐπὶ νῆας Ἀχαιῶν.
Τὴν δὲ κατ᾽ ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψεν·
Ἤριπε δ᾽ ἐξοπίσω, ἀπὸ δὲ ψυχὴν ἐκάπυσσεν.
Τῆλε δ᾽ ἀπὸ κρατὸς χέε δέσματα σιγαλόεντα,
Ἄμπυκα, κεκρύφαλόν τε ἰδὲ πλεκτὴν ἀναδέσμην,
Κρήδεμνόν θ᾽, ὅ ῥά οἱ δῶκε χρυσέη Ἀφροδίτη,
Ἤματι τῷ, ὅτε μιν κορυθαίολος ἠγάγεθ᾽ Ἕκτωρ
Ἐκ δόμου Ἠετίωνος, ἐπεὶ πόρε μυρία ἕδνα.
Ἀμφὶ δέ μιν γαλόῳ τε καὶ εἰνατέρες ἅλις ἔσταν,
Αἵ ἑ μετὰ σφίσιν εἶχον ἀτυζομένην ἀπολέσθαι·
Ἡ δ᾽ ἐπεὶ οὖν ἄμπνυτο, καὶ ἐς φρένα θυμὸς ἀγέρθη,
Ἀμβλήδην γοόωσα, μετὰ Τρωῇσιν ἔειπεν·

V. 79. αἲ γὰρ, *far from my ear be the tale.*—V. 81. πεδίονδε, *to the battle field.*—V. 82. ἀγηνορίης, that is, τοῦ μένους. Andromache calls Hector's courage ἀλεγεινὴ, on account of its leading to his destruction.—V. 83. Ἥ μιν ἔχεσκ᾽, *which possessed him.*—V. 84. τὸ ὃν μένος, that is, τῷ ἑαυτοῦ μένει.—V. 85. μαινάδι ἴση. Compare v. 21. p. 230.—V. 93. τῆλε· in the violence of her fall, the ornaments worn on the head of Andromache were thrown *to a distance.*—V. 95. χρυσέη, the standing epithet of Venus, which may be rendered by *brilliant.*—V. 99. ἀτυζομένην ἀπολέσθαι, that is, οὕτως ἀτυζομένην ὥστε ἀπολέσθαι.—V. 100. ἄμπνυτο from ἀναπνέω.

Ἕκτορ, ἐγὼ δύστηνος! ἰῇ ἄρα γεινόμεθ' αἴσῃ
Ἀμφότεροι, σὺ μὲν ἐν Τροίῃ Πριάμου κατὰ δῶμα,
Αὐτὰρ ἐγὼ Θήβῃσιν ὑπὸ Πλάκῳ ὑληέσσῃ,
Ἐν δόμῳ Ἠετίωνος, ὅ μ' ἔτρεφε τυτθὸν ἐοῦσαν,
Δύσμορος αἰνόμορον· ὡς μὴ ὤφελλε τεκέσθαι!
Νῦν δὲ σὺ μὲν Ἀΐδαο δόμους, ὑπὸ κεύθεσι γαίης,
Ἔρχεαι, αὐτὰρ ἐμὲ στυγερῷ ἐνὶ πένθεϊ λείπεις
Χήρην ἐν μεγάροισι· πάϊς δ' ἔτι νήπιος αὔτως,
Ὃν τέκομεν σύ τ' ἐγώ τε δυσάμμοροι· οὔτε σὺ τούτῳ
Ἔσσεαι, Ἕκτορ, ὄνειαρ, ἐπεὶ θάνες, οὔτε σοὶ οὗτος.
Ἤν γὰρ δὴ πόλεμόν γε φύγῃ πολύδακρυν Ἀχαιῶν,
Αἰεί τοι τούτῳ γε πόνος καὶ κήδε' ὀπίσσω
Ἔσσοντ'· ἄλλοι γάρ οἱ ἀπουρίσσουσιν ἀρούρας.
Ἦμαρ δ' ὀρφανικὸν παναφήλικα παῖδα τίθησιν·
Πάντα δ' ὑπεμνήμυκε, δεδάκρυνται δὲ παρειαί.
Δευόμενος δέ τ' ἄνεισι πάϊς ἐς πατρὸς ἑταίρους,
Ἄλλον μὲν χλαίνης ἐρύων, ἄλλον δὲ χιτῶνος·
Τῶν δ' ἐλεησάντων κοτύλην τις τυτθὸν ἐπέσχεν,
Χείλεα μέν τ' ἐδίην', ὑπερῴην δ' οὐκ ἐδίηνεν.
Τὸν δὲ καὶ ἀμφιθαλὴς ἐκ δαιτύος ἐστυφέλιξεν,
Χερσὶν πεπληγὼς, καὶ ὀνειδείοισιν ἐνίσσων·
Ἔῤῥ' οὕτως· οὐ σός γε πατὴρ μεταδαίνυται ἡμῖν.
Δακρυόεις δέ τ' ἄνεισι πάϊς ἐς μητέρα χήρην,
Ἀστυάναξ, ὃς πρὶν μὲν ἑοῦ ἐπὶ γούνασι πατρὸς
Μυελὸν οἶον ἔδεσκε, καὶ οἰῶν πίονα δημόν·
Αὐτὰρ ὅθ' ὕπνος ἕλοι, παύσαιτό τε νηπιαχεύων,
Εὕδεσκ' ἐν λέκτροισιν, ἐν ἀγκαλίδεσσι τιθήνης,

V. 105. τυτθὸν for τυτθὴν, by a poetical neglect of the gender.—V. 106. ὤφελλε for ὤφελε.—V. 114. ἀπουρίσσουσιν from οὖρος (Ionic for ὅρος), instead of ἀφορίσουσι.—V. 119. τυτθὸν is used adverbially with ἐπέσχεν. These aorists, ἐπέσχεν and ἐδίηνεν, indicate an oft repeated action.—V. 123. *Go, thus* beaten.—V. 126. ἔδεσκε from ἔδω, as εὕδεσκε, in the next line but one, from εὕδω.

Εὐνῇ ἔνι μαλακῇ, θαλέων ἐμπλησάμενος κῆρ·
Νῦν δ' ἂν πολλὰ πάθῃσι, φίλου ἀπὸ πατρὸς ἁμαρτὼν,
Ἀστυάναξ, ὃν Τρῶες ἐπίκλησιν καλέουσιν.
Οἶος γάρ σφιν ἔρυσο πύλας καὶ τείχεα μακρά.
Νῦν δέ σε μὲν παρὰ νηυσὶ κορωνίσι, νόσφι τοκήων,
Αἰόλαι εὐλαὶ ἔδονται, ἐπεί κε κύνες κορέσωνται,
Γυμνόν· ἀτάρ τοι εἵματ' ἐνὶ μεγάροισι κέονται,
Λεπτά τε καὶ χαρίεντα, τετυγμένα χερσὶ γυναικῶν.
Ἀλλ' ἤτοι τάδε πάντα καταφλέξω πυρὶ κηλέῳ,
Οὐδὲν σοίγ' ὄφελος, ἐπεὶ οὐκ ἐγκείσεαι αὐτοῖς,
Ἀλλὰ πρὸς Τρώων καὶ Τρωϊάδων κλέος εἶναι.
Ὣς ἔφατο κλαίουσ'· ἐπὶ δὲ στενάχοντο γυναῖκες.

IV.

*Priam supplicates Achilles for the dead Body of Hector.**

———Γέρων δ' ἰθὺς κίεν οἴκου,
Τῇ ῥ' Ἀχιλεὺς ἵζεσκε, Διῒ φίλος· ἐν δέ μιν αὐτὸν
Εὗρ'· ἕταροι δ' ἀπάνευθε καθείατο· τῷ δὲ δύ' οἴω,
Ἥρως Αὐτομέδων τε καὶ Ἄλκιμος, ὄζος Ἄρηος,
Ποίπνυον παρεόντε· νέον δ' ἀπέληγεν ἐδωδῆς,

V. 135. *κέονται* for *κεῖνται*.—V. 137. *κηλέῳ* to be read as a dissyllable.—V. 138. Costly garments burned with the dead body rendered the obsequies more honorable. Hector, who has fallen into the enemy's hands, cannot thus be honored; but the burning of his garments before the Trojans (*πρὸς*, *ἔμπροσθεν*) will d o honor to his name.

V. 2. *τῇ* for *ᾗ*, *where*.—*ἐν* for *ἐν αὐτῷ*, or absolutely for *ἔνδον*.—V. 3. *καθείατο* for *καθεῖντο*, and this for the more common form *καθῆντο*.

* Iliad, XXIV. 471—675. Priam, under the guidance of Mercury, has reach ed the tent of Achilles. There leaving his car and chari oteer he enters the tent.

Ἔσθων καὶ πίνων, ἔτι καὶ παρέκειτο τράπεζα.
Τοὺς δ' ἔλαθ' εἰσελθὼν Πρίαμος μέγας, ἄγχι δ' ἄρα στὰς
Χερσὶν Ἀχιλλῆος λάβε γούνατα, καὶ κύσε χεῖρας
Δεινὰς, ἀνδροφόνους, αἵ οἱ πολέας κτάνον υἷας.
Ὡς δ' ὅτ' ἂν ἄνδρ' ἄτη πυκινὴ λάβῃ, ὅστ' ἐνὶ πάτρῃ
Φῶτα κατακτείνας, ἄλλων ἐξίκετο δῆμον,
Ἀνδρὸς ἐς ἀφνειοῦ, θάμβος δ' ἔχει εἰσορόωντας·
Ὣς Ἀχιλεὺς θάμβησεν, ἰδὼν Πρίαμον θεοειδέα·
Θάμβησαν δὲ καὶ ἄλλοι, ἐς ἀλλήλους δὲ ἴδοντο.
Τὸν καὶ λισσόμενος Πρίαμος πρὸς μῦθον ἔειπεν·
Μνῆσαι πατρὸς σοῖο, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
Τηλίκου, ὥσπερ ἐγὼν, ὀλοῷ ἐπὶ γήραος οὐδῷ.
Καὶ μέν που κεῖνον περιναιέται ἀμφὶς ἐόντες
Τείρουσ', οὐδέ τίς ἐστιν ἀρὴν καὶ λοιγὸν ἀμῦναι·
Ἀλλ' ἤτοι κεῖνός γε, σέθεν ζώοντος ἀκούων,
Χαίρει τ' ἐν θυμῷ, ἐπί τ' ἔλπεται ἤματα πάντα
Ὄψεσθαι φίλον υἱὸν, ἀπὸ Τροίηθε μολόντα.
Αὐτὰρ ἐγὼ πανάποτμος, ἐπεὶ τέκον υἷας ἀρίστους
Τροίῃ ἐν εὐρείῃ· τῶν δ' οὔτινά φημι λελεῖφθαι.
Πεντήκοντά μοι ἦσαν, ὅτ' ἤλυθον υἷες Ἀχαιῶν·
Τῶν μὲν πολλῶν θοῦρος Ἄρης ὑπὸ γούνατ' ἔλυσεν·
Ὃς δέ μοι οἶος ἔην, εἴρυτο δὲ ἄστυ καὶ αὐτοὺς,
Τὸν σὺ πρώην κτεῖνας, ἀμυνόμενον περὶ πάτρης,
Ἕκτορα· τοῦ νῦν εἵνεχ' ἱκάνω νῆας Ἀχαιῶν,
Λυσόμενος παρὰ σεῖο, φέρω δ' ἀπερείσι' ἄποινα.

V. 10. *ἄτη*, *calamity* arising from some crime.—V. 12. *Ἀνδρὸς*, &c. Praying for expiation of his offence.—V. 17. *on the threshold of age*, for, already advanced in years.—V. 19. *ἐστιν*, that is, *πάρεστι οἷος τε ὢν ἀμῦναι*.—V. 22. *ἀπὸ* is pleonastic, as above, *ἐξ οὐρανόθεν*, p. 236, V. 19.—V. 26. *γούνατ'*, because the failing of the corporeal powers of the warrior is first visible in the knees. Hence this and similar phrases abound in Homer.

Ἀλλ' αἰδεῖο θεοὺς, Ἀχιλεῦ, αὐτόν τ' ἐλέησον,
Μνησάμενος σοῦ πατρός· ἐγὼ δ' ἐλεεινότερός περ,
Ἔτλην δ', οἷ' οὔπω τις ἐπιχθόνιος βροτὸς ἄλλος,
Ἀνδρὸς παιδοφόνοιο ποτὶ στόμα χεῖρ' ὀρέγεσθαι.
Ὣς φάτο· τῷ δ' ἄρα πατρὸς ὑφ' ἵμερον ὦρσε γόοιο·
Ἀψάμενος δ' ἄρα χειρὸς, ἀπώσατο ἦκα γέροντα.
Τὼ δὲ μνησαμένω, ὁ μὲν Ἕκτορος ἀνδροφόνοιο,
Κλαῖ' ἀδινὰ, προπάροιθε ποδῶν Ἀχιλῆος ἐλυσθείς·
Αὐτὰρ Ἀχιλλεὺς κλαῖεν ἑὸν πατέρ', ἄλλοτε δ' αὖτε
Πάτροκλον· τῶν δὲ στοναχὴ κατὰ δώματ' ὀρώρει.
Αὐτὰρ ἐπεί ῥα γόοιο τετάρπετο δῖος Ἀχιλλεὺς,
Αὐτίκ' ἀπὸ θρόνου ὦρτο, γέροντα δὲ χειρὸς ἀνίστη,
Οἰκτείρων πολιόν τε κάρη, πολιόν τε γένειον·
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ἆ δείλ', ἦ δὴ πολλὰ κάκ' ἄνσχεο σὸν κατὰ θυμόν.
Πῶς ἔτλης ἐπὶ νῆας Ἀχαιῶν ἐλθέμεν οἶος,
Ἀνδρὸς ἐς ὀφθαλμοὺς, ὅς τοι πολέας τε καὶ ἐσθλοὺς
Υἱέας ἐξενάριξα; σιδήρειόν νύ τοι ἦτορ.
Ἀλλ' ἄγε δὴ κατ' ἄρ' ἕζευ ἐπὶ θρόνου· ἄλγεα δ' ἔμπης
Ἐν θυμῷ κατακεῖσθαι ἐάσομεν, ἀχνύμενοί περ.
Οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο.
Ὣς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσιν,

—V. 31. *αἰδεῖο* for *αἰδέεο, αἴδου.*—*αὐτὸν* for *ἐμέ.*—V. 32. *ἐλεεινότερός περ*, *more worthy of pity.*—V. 34. *ποτὶ στόμα·* according to the poetical representation of suppliants, to embrace the knees, and to kiss the hand of him whom they supplicate.—V. 35. *πατρὸς*, genitive of the cause.—V. 39. It would have been more agreeable to usage, if *ἄλλοτε* had preceded *πατέρ'*, as well as *Πάτροκλον.* See V. 57.—V. 41. *τετάρπετο*, *was satiated.* This verb was originally used of pleasant things.—V. 42. *χειρὸς*, taking him *by the hand*, like *λαβεῖν χειρὸς.* —V. 45. *ἄνσχεο* for *ἀνέσχου.*—V. 47. *πολέας* for *πολλούς.* See Gram. § 64. Rem. p. 73.—V. 48. *ὅς τοι...ἐξανάριξα·* a transition from the third person to the first.—V. 51. *πρῆξις*, *avail* or *profit.* See below, V. 77.

Ζώειν ἀχνυμένοις· αὐτοὶ δέ τ' ἀκηδέες εἰσίν.
Δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει,
Δώρων, οἷα δίδωσι, κακῶν, ἕτερος δὲ, ἑάων.
Ὧ μέν κ' ἀμμίξας δώῃ Ζεὺς τερπικέραυνος,
Ἄλλοτε μέν τε κακῷ ὅγε κύρεται, ἄλλοτε δ' ἐσθλῷ·
Ὧ δέ κε τῶν λυγρῶν δώῃ, λωβητὸν ἔθηκεν·
Καὶ ἑ κακὴ βούβρωστις ἐπὶ χθόνα δῖαν ἐλαύνει·
Φοιτᾷ δ', οὔτε θεοῖσι τετιμένος, οὔτε βροτοῖσιν.
Ὣς μὲν καὶ Πηλῆϊ θεοὶ δόσαν ἀγλαὰ δῶρα
Ἐκ γενετῆς· πάντας γὰρ ἐπ' ἀνθρώπους ἐκέκαστο
Ὄλβῳ τε, πλούτῳ τε, ἄνασσε δὲ Μυρμιδόνεσσιν·
Καί οἱ θνητῷ ἐόντι θεὰν ποίησαν ἄκοιτιν·
Ἀλλ' ἐπὶ καὶ τῷ θῆκε θεὸς κακὸν, ὅττι οἱ οὔτι
Παίδων ἐν μεγάροισι γονὴ γένετο κρειόντων.
Ἀλλ' ἕνα παῖδα τέκεν παναώριον· οὐδέ νυ τόνγε
Γηράσκοντα κομίζω· ἐπεὶ μάλα τηλόθι πάτρης
Ἧμαι ἐνὶ Τροίῃ, σέ τε κήδων ἠδὲ σὰ τέκνα.
Καὶ σὲ, γέρον, τὸ πρὶν μὲν ἀκούομεν ὄλβιον εἶναι·
Ὅσσον Λέσβος ἄνω, Μάκαρος ἕδος, ἐντὸς ἐέργει,
Καὶ Φρυγίη καθύπερθε καὶ Ἑλλήσποντος ἀπείρων,
Τῶν σε, γέρον, πλούτῳ τε καὶ υἱάσι φασὶ κεκάσθαι.
Αὐτὰρ ἐπεί τοι πῆμα τόδ' ἤγαγον Οὐρανίωνες,
Αἰεί τοι περὶ ἄστυ μάχαι τ' ἀνδροκτασίαι τε·

V. 54. *κατακείαται* for *κατακεῖνται*.—*οὔδει* from *οὖδας*.—V. 55. *ἑάων*, that is, *ἀγαθῶν*, derived by some grammarians from *ἐΰς*, *ἐῆος*, by others from *ἑὸς*, *ἑή*, *ἑόν*. *Ἐάων* nere agrees with *δόσεων*.—V. 56. *ἀμμίξας*, that is, *ἀναμίξας τὰ κακὰ τοῖς ἐσθλοῖς*.—V. 58. *ἄνευ μίξεως τῶν ἀγαθῶν*.—*ἔθηκεν*, that is, *τοῦτον*.—V. 62. *ἐπ' ἀνθρώπους* for *ἐν ἀνθρώποις*.—V. 71. *Μάκαρ*, the son of Ilus, founded Lesbos, which bounded the realm of Troy on the south (*ἄνω*), as Phrygia did on the east, and the Hellespont on the north. *Ὅσσον* is not grammatically in correspondence with *τῶν* in V. 73. though they refer to each other: *of as many* as the bounds of Troy inclose (*ἐέργει*) *of them* (*τῶν*), &c.

Ἄνσχεο, μηδ' ἀλίαστον ὀδύρεο σὸν κατὰ θυμόν.
Οὐ γάρ τι πρήξεις ἀκαχήμενος υἷος ἑῆος,
Οὐδέ μιν ἀνστήσεις, πρὶν καὶ κακὸν ἄλλο πάθησθα.
Τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμος θεοειδής·
Μή μέ πω ἐς θρόνον ἷζε, Διοτρεφὲς, ὄφρα κεν Ἕκτωρ
Κεῖται ἐνὶ κλισίῃσιν ἀκηδής· ἀλλὰ τάχιστα
Λῦσον, ἵν' ὀφθαλμοῖσιν ἴδω· σὺ δὲ δέξαι ἄποινα
Πολλὰ, τά τοι φέρομεν· σὺ δὲ τῶνδ' ἀπόναιο, καὶ ἔλθοις
Σὴν ἐς πατρίδα γαῖαν, ἐπεί με πρῶτον ἔασας.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Μηκέτι νῦν μ' ἐρέθιζε, γέρον· νοέω δὲ καὶ αὐτὸς
Ἕκτορά τοι λῦσαι· Διόθεν δέ μοι ἄγγελος ἦλθεν
Μήτηρ, ἥ μ' ἔτεκεν, θυγάτηρ ἁλίοιο γέροντος.
Καὶ δέ σε γιγνώσκω, Πρίαμε, φρεσὶν, οὐδέ με λήθεις,
Ὅττι θεῶν τίς σ' ἦγε θοὰς ἐπὶ νῆας Ἀχαιῶν.
Οὐ γάρ κε τλαίη βροτὸς ἐλθέμεν, οὐδὲ μάλ' ἡβῶν,
Ἐς στρατόν· οὐδὲ γὰρ ἂν φυλάκους λάθοι, οὐδέ κ' ὀχῆας
Ῥεῖα μετοχλίσσειε θυράων ἡμετεράων.
Τῷ νῦν μή μοι μᾶλλον ἐν ἄλγεσι θυμὸν ὀρίνῃς.
Μή σε, γέρον, οὐδ' αὐτὸν ἐνὶ κλισίῃσιν ἐάσω,
Καὶ ἱκέτην περ ἐόντα, Διὸς δ' ἀλίτωμαι ἐφετμάς.
Ὣς ἔφατ'· ἔδδεισεν δ' ὁ γέρων, καὶ ἐπείθετο μύθῳ.
Πηλείδης δ' οἴκοιο, λέων ὣς, ἆλτο θύραζε,
Οὐκ οἶος· ἅμα τῷγε δύω θεράποντες ἕποντο,
Ἥρως Αὐτομέδων ἠδ' Ἄλκιμος, οὓς ῥα μάλιστα
Τῖ' Ἀχιλεὺς ἑτάρων, μετὰ Πάτροκλόν γε θανόντα.

V. 76. *Ἄνσχεο* for ἄνσχου, imperat. aor. 2.—V. 78. *πρίν*, *rather.*—V. 80. *Μή μέ πω*, for μήπω με.—V. 86. *Μή μ' ἐρέθιζε*, that is, by repeatedly urging thy request.—V. 94. *Τῷ*, *on which account*, viz. thy coming by divine guidance.—V. 95. *ἐάσω*, *lest I spare not even thee.*—V. 98. *ἆλτο*, a syncopated aorist, ἡλάμην, from ἅλλομαι.

Οἳ τόθ' ὑπὸ ζυγόφιν λύον ἵππους ἡμιόνους τε,
Ἐς δ' ἄγαγον κήρυκα καλήτορα τοῖο γέροντος·
Κὰδ δ' ἐπὶ δίφρου εἷσαν· ἐϋξέστου δ' ἀπ' ἀπήνης
Ἥρεον Ἑκτορέης κεφαλῆς ἀπερείσι' ἄποινα.
Κὰδ δ' ἔλιπον δύο φάρε', ἐΰννητόν τε χιτῶνα,
Ὄφρα νέκυν πυκάσας δοίη οἶκόνδε φέρεσθαι.
Δμωὰς δ' ἐκκαλέσας λοῦσαι κέλετ', ἀμφί τ' ἀλεῖψαι,
Νόσφιν ἀειράσας, ὡς μὴ Πρίαμος ἴδοι υἱόν·
Μὴ ὁ μὲν ἀχνυμένῃ κραδίῃ χόλον οὐκ ἐρύσαιτο,
Παῖδα ἰδών, Ἀχιλῆϊ δ' ὀρινθείη φίλον ἦτορ,
Καί ἑ κατακτείνειε, Διὸς δ' ἀλίτηται ἐφετμάς.
Τὸν δ' ἐπεὶ οὖν δμωαὶ λοῦσαν καὶ χρῖσαν ἐλαίῳ,
Ἀμφὶ δέ μιν φᾶρος καλὸν βάλον ἠδὲ χιτῶνα,
Αὐτὸς τόνγ' Ἀχιλεὺς λεχέων ἐπέθηκεν ἀείρας,
Σὺν δ' ἕταροι ἤειραν ἐϋξέστην ἐπ' ἀπήνην.
Ὤμωξέν τ' ἄρ' ἔπειτα, φίλον δ' ὀνόμηνεν ἑταῖρον·
Μή μοι, Πάτροκλε, σκυδμαινέμεν, αἴ κε πύθηαι
Εἰν Ἄϊδός περ ἐών, ὅτι Ἕκτορα δῖον ἔλυσα
Πατρὶ φίλῳ· ἐπεὶ οὔ μοι ἀεικέα δῶκεν ἄποινα·
Σοὶ δ' αὖ ἐγὼ καὶ τῶνδ' ἀποδάσσομαι, ὅσσ' ἐπέοικεν.
Ἦ ῥα, καὶ ἐς κλισίην πάλιν ἤϊε δῖος Ἀχιλλεύς.
Ἕζετο δ' ἐν κλισμῷ πολυδαιδάλῳ, ἔνθεν ἀνέστη,
Τοίχου τοῦ ἑτέρου, ποτὶ δὲ Πρίαμον φάτο μῦθον·
Υἱὸς μὲν δή τοι λέλυται, γέρον, ὡς ἐκέλευες,
Κεῖται δ' ἐν λεχέεσσ'· ἅμα δ' ἠοῖ φαινομένηφιν
Ὄψεαι αὐτὸς ἄγων· νῦν δὲ μνησώμεθα δόρπου.

V. 102. *ζυγόφιν* for *ζυγοῦ*.—V. 104. *Κὰδ...εἷσαν·* *κατὰ* before *δ* is often thus, by epic license, changed into *κάδ*.—V. 105. *Ἑκτορέης κεφαλῆς* for *Ἕκτορος*.—V. 118. *σκυδμαινέμεν*, the infinitive for the imperative.—V. 121. *τῶνδ'*. Achilles promises to Patroclus a share of the ransom of Hector's body, intending to consecrate it at the sepulchre of Patroclus.—V. 124. *τοῦ ἑτέρου*, that is, *τοῦ ἐναντίου*. The genitive *τοίχου* is governed by *κλισμῷ*.

Καὶ γάρ τ' ἠΰκομος Νιοβη ἐμνησατο σίτου,
Τῆπερ δώδεκα παῖδες ἐνὶ μεγάροισιν ὄλοντο,
Ἓξ μὲν θυγατέρες, ἓξ δ' υἱέες ἡβώοντες.
Τοὺς μὲν Ἀπόλλων πέφνεν ἀπ' ἀργυρέοιο βιοῖο,
Χωόμενος Νιόβῃ, τὰς δ' Ἄρτεμις ἰοχέαιρα,
Οὕνεκ' ἄρα Λητοῖ ἰσάσκετο καλλιπάρῃῳ·
Φῆ δοιὼ τεκέειν, ἡ δ' αὐτὴ γείνατο πολλούς·
Τὼ δ' ἄρα, καὶ δοιώ περ ἐόντ', ἀπὸ πάντας ὄλεσσαν.
Οἱ μὲν ἄρ' ἐννῆμαρ κέατ' ἐν φόνῳ, οὐδέ τις ἦεν
Κατθάψαι· λαοὺς δὲ λίθους ποίησε Κρονίων·
Τοὺς δ' ἄρα τῇ δεκάτῃ θάψαν θεοὶ Οὐρανίωνες.
Ἡ δ' ἄρα σίτου μνήσατ', ἐπεὶ κάμε δακρυχέουσα.
Νῦν δέ που ἐν πέτρῃσιν, ἐν οὔρεσιν οἰοπόλοισιν,
Ἐν Σιπύλῳ, ὅθι φασὶ θεάων ἔμμεναι εὐνὰς
Νυμφάων, αἵτ' ἀμφ' Ἀχελώϊον ἐῤῥώσαντο,
Ἔνθα, λίθος περ ἐοῦσα, θεῶν ἐκ κήδεα πέσσει.
Ἀλλ' ἄγε δὴ καὶ νῶϊ μεδώμεθα, δῖε γεραιέ,
Σίτου, ἔπειτά κεν αὖτε φίλον παῖδα κλαίῃσθα,
Ἴλιον εἰς ἀγαγών· πολυδάκρυτος δέ τοι ἔσται.
Ἦ, καὶ ἀναΐξας ὄϊν ἄργυφον ὠκὺς Ἀχιλλεὺς
Σφάξ'· ἕταροι δ' ἔδερόν τε καὶ ἄμφεπον εὖ κατὰ κόσμον,
Μίστυλλόν τ' ἄρ' ἐπισταμένως, πεῖράν τ' ὀβελοῖσιν,
Ὤπτησάν τε περιφραδέως, ἐρύσαντό τε πάντα.
Αὐτομέδων δ' ἄρα σῖτον ἑλὼν ἐπένειμε τραπέζῃ

V. 131. *πέφνεν ἀπ' ἀργυρέοιο βιοῖο· ἀπὸ* indicates *proceeding from*, and in this case alludes to the fatal arrows shot from the bow.—V. 134. *Φῆ*, that is, *ἔφη γὰρ ἡ Νιόβη τὴν Λητὼ δύο μόνον τεκεῖν, αὐτὴν δὲ πολλούς*.—V. 136. *κέατ'* for *ἔκειντο*.—*ἦεν*, *there was no one present to bury them*.—V. 137. The farther particulars here given by Homer differ from the common mythology, and are therefore imperfectly known.—V. 141. *εὐνὰς*, their *resorts*.—V. 142. *Ἀχελώϊον· ὕδωρ* is understood.—*ἐῤῥώσαντο* from *ῥώομαι*.—V. 143. *θεῶν ἐκ*, that is, *θεῶν οὕτως θελόντων*.—V. 145. *κεν...κλαίῃσθα*, that is, *κλαίῃς ἂν*, *thou mayest lament.*

Καλοῖς ἐν κανέοισιν· ἀτὰρ κρέα νεῖμεν Ἀχιλλεύς.
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Ἤτοι Δαρδανίδης Πρίαμος θαύμαζ' Ἀχιλῆα,
Ὅσσος ἔην, οἷός τε· θεοῖσι γὰρ ἄντα ἐῴκει.
Αὐτὰρ ὁ Δαρδανίδην Πρίαμον θαύμαζεν Ἀχιλλεύς,
Εἰσορόων ὄψιν τ' ἀγαθὴν, καὶ μῦθον ἀκούων.
Αὐτὰρ ἐπεὶ τάρπησαν ἐς ἀλλήλους ὁρόωντες,
Τὸν πρότερος προσέειπε γέρων Πρίαμος θεοειδής·
Λέξον νῦν με τάχιστα, Διοτρεφὲς, ὄφρα κεν ἤδη
Ὕπνῳ ὕπο γλυκερῷ ταρπώμεθα κοιμηθέντες.
Οὐ γάρ πω μύσαν ὄσσε ὑπὸ βλεφάροισιν ἐμοῖσιν,
Ἐξ οὗ σῆς ὑπὸ χερσὶν ἐμὸς παῖς ὤλεσε θυμόν·
Ἀλλ' αἰεὶ στενάχω καὶ κήδεα μυρία πέσσω,
Αὐλῆς ἐν χόρτοισι κυλινδόμενος κατὰ κόπρον.
Νῦν δὴ καὶ σίτου πασάμην, καὶ αἴθοπα οἶνον
Λαυκανίης καθέηκα· πάρος γε μὲν οὔτι πεπάσμην.
Ἦ ῥ', Ἀχιλεὺς δ' ἑτάροισιν ἰδὲ δμῳῇσι κέλευσεν,
Δέμνι' ὑπ' αἰθούσῃ θέμεναι, καὶ ῥήγεα καλὰ
Πορφύρε' ἐμβαλέειν, στορέσαι τ' ἐφύπερθε τάπητας,
Χλαίνας τ' ἐνθέμεναι οὔλας καθύπερθεν ἕσασθαι.
Αἱ δ' ἴσαν ἐκ μεγάροιο, δάος μετὰ χερσὶν ἔχουσαι·
Αἶψα δ' ἄρα στόρεσαν δοιὼ λέχε' ἐγκονέουσαι.
Τὸν δ' ἐπικερτομέων προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Ἐκτὸς μὲν δὴ λέξο, γέρον φίλε· μήτις Ἀχαιῶν
Ἐνθάδ' ἐπέλθῃσιν βουληφόρος, οἵτε μοι αἰεὶ
Βουλὰς βουλεύουσι παρήμενοι, ἣ θέμις ἐστίν·
Τῶν εἴ τίς σε ἴδοιτο θοὴν διὰ νύκτα μέλαιναν,

V. 154. ἐξ ἔρον ἕντο from ἐξίημι, *to dismiss*, that is, *to satisfy desire.*—V. 156. ἄντα, that is, ἄντιος ὤν, *being opposite.*—V. 161. Λέξον, that is, κοίμισον.—V. 175. ἐπικερτομέων, *with jesting tone.*

Αὐτίκ' ἂν ἐξείποι Ἀγαμέμνονι ποιμένι λαῶν,
Καί κεν ἀνάβλησις λύσιος νεκροῖο γένοιτο.
Ἀλλ' ἄγε μοι τόδε εἰπὲ, καὶ ἀτρεκέως κατάλεξον,
Ποσσῆμαρ μέμονας κτερεϊζέμεν Ἕκτορα δῖον,
Ὄφρα τέως αὐτός τε μένω καὶ λαὸν ἐρύκω.
  Τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμος θεοειδής·
Εἰ μὲν δή μ' ἐθέλεις τελέσαι τάφον Ἕκτορι δίῳ,
Ὧδέ κέ μοι ῥέζων, Ἀχιλεῦ, κεχαρισμένα θείης.
Οἶσθα γὰρ, ὡς κατὰ ἄστυ ἐέλμεθα, τηλόθι δ' ὕλη
Ἀξέμεν ἐξ ὄρεος· μάλα δὲ Τρῶες δεδίασιν.
Ἐννῆμαρ μέν κ' αὐτὸν ἐνὶ μεγάροις γοάοιμεν,
Τῇ δεκάτῃ δέ κε θάπτοιμεν, δαίνυτό τε λαός·
Ἑνδεκάτῃ δέ κε τύμβον ἐπ' αὐτῷ ποιήσαιμεν,
Τῇ δὲ δυωδεκάτῃ πολεμίξομεν, εἴπερ ἀνάγκη.
  Τὸν δ' αὖτε προσέειπε ποδάρκης δῖος Ἀχιλλεύς·
Ἔσται τοι καὶ ταῦτα, γέρον Πρίαμ', ὡς σὺ κελεύεις.
Σχήσω γὰρ τόσσον πόλεμον χρόνον, ὅσσον ἄνωγας.
  Ὣς ἄρα φωνήσας, ἐπὶ καρπῷ χεῖρα γέροντος
Ἔλλαβε δεξιτερὴν, μήπως δείσει' ἐνὶ θυμῷ.
Οἱ μὲν ἄρ' ἐν προδόμῳ δόμου αὐτόθι κοιμήσαντο,
Κῆρυξ καὶ Πρίαμος, πυκινὰ φρεσὶ μήδε' ἔχοντες.
Αὐτὰρ Ἀχιλλεὺς εὗδε μυχῷ κλισίης εὐπήκτου.

V. 183. *Ποσσῆμαρ* for *πόσας ἡμέρας*.—V. 187. *θείης*, that is, *ποιήσαις*.—V. 188. *ἐέλμεθα* from *ἔλλω*.—V. 191. *δαίνυτο* seems placed by syncope for *δαινύοιτο*.

REFERENCE

TO THE

GREEK AUTHORS, FROM WHOM THE PRECEDING EXTRACTS ARE MADE.

FABLES AND ANECDOTES.

Fables.

P. 53. The Æsopic Fables, pp. 53–56, are those which are numbered as follows, in *Hauptmann's Edition* of Æsop:—319, 216, 214, 170, 156, 139, 311, 212, 229, 259, 24, 53.

Anecdotes of Philosophers.

56. *Zeno.* § 1. Diogenes Laërtius, VII, 23.—§ 2. *ib.*—§ 3. *ib.* 21.—§ 4. Stobæi Florileg. XXXIII, p. 214.
56. *Aristotle.* § 5–9. Diog. Laërt. V, 17–21.—§ 10. Plutarch. II, p. 503. B.
57. *Plato.* § 11. Stobæus, LXXVII, p. 456.—§ 12. *Id.* XX, p. 174.
57. *Socrates.* § 13. Diog. Laërt. II, 36.—§ 14. Stobæus, CVI, p. 570.
58. *Diogenes.* § 15. Diog. Laërt. VI, 55.—§ 16. *Ib.* 22.—§ 17. Ælian. V. H. XIII, 28.—§ 18. Diog. Laërt. VI, 37.—§ 19. *Ib.* 41.—§ 20, 21. *Ib.* 29, 30.—§ 22–26. *Ib.* 40—§ 27. Stobæus. XV, p. 152.—§ 28. *Id.* XIII, p. 146.—§ 29. Plutarch. II, p. 78. D.
60. *Antisthenes.* § 30–33. Diog. Laërt. VI, 5–8.—§ 34. Stobæus, XIV, p. 149.
60. *Aristippus.* § 35–45. Diog. Laërt. II, 69–80.
62. *Solon, Gorgias.* § 46. Stobæus, CXXI. p. 611.—§ 47, 48. *Id.* XCIX, p. 546.—§ 49. *Id.* CXVII, p. 598.
62. *Pittacus, Xenophon.* § 50. Stobæus, XIX, p. 169.—§ 51. Diog. Laërt. II, 54, 55.

Anecdotes of Poets and Orators.

63. § 52. Stobæus, XCI, pp. 508 and 511.—§ 53. Plutarch. II. p. 515. D.—§ 54. Ælian. V. H. V, 19.—§ 55. Stobæus, XIII, p. 145.—§ 56. Lucian. VIII, p. 129.—§ 57. *Ib.*—§ 58. Ælian. V. H. IX, 14.—§ 59. Plutarch. II, p. 508. C.—§ 60. Stobæus, XXXVI, p. 218.—§ 61. Plutarch. II, p. 504. C.

Anecdotes of Princes and Statesmen.

P. 65. § 62. Plutarch. II, p. 174. A.—§ 63. *Ib.* p. 509. A.—§ 64. *Ib.* p. 176. C.—§ 65. Stobæus, LII, p. 366.—§ 66. Plutarch. II, p. 177. C.—§ 67. Stobæus, LII, p. 366.—§ 68. *Id.* XCVI, p. 532.—§ 69. Plutarch. II, p. 105. A.—§ 70. Ælian. V. H. VIII, 15.—§ 71. Plutarch. II, p. 331. F.—§ 72. *Ib.* p. 335. B.—§ 73. *Ib.* p. 466. C.—§ 74. Ælian. V. H. XIII, 13.—§ 75. Stobæus, XLVII, p. 344.—§ 76. Plutarch. II, p. 506. C. —§ 77. *Ib.* p. 334. A.—§ 78. Stobæus, XLV, p. 323.—§ 79, 80. Plutarch. II, p. 184.—§ 81. Ælian. V. H. XIII, 40.—§ 82. Plutarch. II, p. 185, C.—§ 83. *Ib.* p. 183. D.—§ 84. *Ib.* p. 185. E.—§ 85. Ælian. V. H. V, 5.—§ 86. Stobæus, LII, p. 365.—§ 87. Ælian. V. H. XIV, 38.—§ 88. Plutarch. II, p. 39. B.—§ 89. Stobæus. XL, p. 238.—§ 90. *Id.* LII. p. 366. —§ 91. Ælian. V. H. IX, 6.—§ 92. *Id.* XIII, 41.

Anecdotes of Spartans.

71. § 93. Stobæus, VII, p. 29.—§ 94. Plutarch. II, p. 216. C.—§ 95. *Ib.* p. 231. D.—§ 96. *Ib.* p. 215. B.—§ 97. *Ib.* p. 232. B.—§ 98. *Ib.* p. 192. C.—§ 99. *Ib.*—§ 100. *Ib.* p. 218. C.—§ 101. *Ib.* E.—§ 102, *Ib.* p. 219. A.—§ 103. *Ib.* p. 212. F.—§ 104. Plutarch. Vit. Lycurg. c. 13.—§ 105. Stobæus, XII, p. 140, Compared with Ælian. V. H. VII, 20.—§ 106. Ælian. XIII, 19.—§ 107. Stobæus, XIX, p. 169.—§ 108. *Id.* XXXVIII. p. 228.—§ 109. Plutarch. II, p. 79, E.—§ 110. Ælian. V. H. III, 25.—§ 111. Plutarch. II, p. 225. B.—§ 112. *Ib.* C.—§ 113. Ælian. V. H. XII, 21.—§ 114. Stobæus, VII, p. 88. § 115. *Ib.*—§ 116. Plutarch. Vit. Lycurg. c. 14. —§ 117. *Ib.* c. 25.—§ 118. Plutarch. II, p. 241. C.—§ 119. *Ib.* p. 241. F.—§ 120. *Ib.* D.—§ 121. *Ib.* p. 240. D.—§ 122. *Ib.*

Miscellaneous Anecdotes.

76. § 123. Plutarch. II, p. 94. F.—§ 124. Ælian. V. H. XIV, 7. —§. 125. Stobæus, LII, p. 365.—126, 127. Plutarch. II, p. 105.—§ 128. *Ib.* p. 213. A.—§ 129. Ælian. V. H. XII, 51. —§ 130. *Id.* IV, 25.—§ 131. Plutarch. Vit. Alcibiad. I. p. 199. C.—§ 132. Stobæus, LXXXIV, p. 493.—§ 133. Ælian. V. H. IX, 36.—§ 134. Stobæus, LXXII, p. 443. Compare Plutarch. Vit. Phoc. c. 19.—§ 135. *Ib.*—§ 136. Lucian. VI, p. 31.

NATURAL HISTORY.

P. 80. § 1. Aristot. Hist. An. VIII, 28.—§ 2. Ælian. Hist. Anim. I, 38.—§ 3. Aristot. H. An. I, 11.—§ 4. *Id.* IX, 1.—§ 5. Strabo, XV, p. 705. B. C.—§ 6—8. Plutarch, II, p. 968.—§ 9. Aristot. H. An. IX, 1.—§ 10. Diodor. Sicul. III, 85.—§ 11. *Id.* I, 35.—§ 12. Arist. H. An. II, 1.—§ 13. Diodor. Sic. III, 35.—§ 14. *Ib.*—§ 15. Plutarch. II, p. 968. F.—§ 16. *Ib.* p. 971. E.—§ 17. *Ib.* F.—§ 18. *Ib.* p. 969. C.— § 19. *Ib.* 970. C. F.—§ 20. Ælian. Hist. An. III, 43.—§ 21. Aristot. de Mir. c. 13.—§ 22. Diodor. Sic. II, 50.—§ 23. Plutarch. II, p. 973. B.—§ 24. Diodor. Sic. I, 35.—§ 25. Herod. II, 68.—§ 26. Arist. H. An. V, 19.—§ 27. Plutarch. II, p. 967. B.—§ 28. *Ib.* p. 978. C.—§ 29. *Ib.* p. 980. B.—§ 30. *Ib.* F.—§ 31. *Ib.* p. 982. B.—§ 32. Plato, T. IV, ed. Bipont. p. 186.—§ 33. Aristot. de Mir. c. 54.

MYTHOLOGY.

MYTHOLOGICAL NOTICES.

92. § 1. Lucian. de. Sacrif. § 8. T. III, p. 73. ed. Bip.—§ 2. Lucian. Icaromenipp. VII, 40.—§ 3. Lucian. III, p. 77.—§ 4. Lucian. III, p. 76.—§ 5–10. Diodor. Sic. V, 72, 73.—§ 11. *Id.* IV, 7.—§ 12. Lucian. VII. p. 207.—§ 13. Apollodor. II, 5. 12.—§ 14. *Id.* I, 1. 13.

MYTHOLOGICAL NARRATIONS.

Apollo and Diana.

98. § 1. Apollodor. I, 4. 1.—§ 2. *Ib.* 9. 15.—§ 3. *Id.* II, 5. 9.—§ 4. Diodor. Sic. IV, 74.—§ 5. Apollodor. III, 5. 6.—§ 6. *Ib.* 4. 4.—§ 7. *Ib.* 10. 3.

Bacchus.

101. § 1. Apollodor. III, 5. 1.—§ 2. *Ib.* 5. 2.—§ 3. *Ib.* 5. 3.—§ 4. *Ib.* 14. 7.

Mercury.

102. § 1. Apollodor. III, 10. 2.

Minerva.

103. § 1. Apollodor. III, 14. 1.—§ 2 *Ib.* 6. 7.

Hercules.

104. § 1. Anal. Vet. Poët. II, 475.—§ 2. Diodor. Sic. V, 76.—§ 3. Apollod. II, 4. 8.—§ 4. *Ib.* 5. 1.—§ 5. *Ib.* 5. 6.—§ 6. *Ib.* 5. 11.—§ 7. *Ib.*—§ 8. *Ib.* 8. 1.

Expedition of the Argonauts.

P. 107. § 1. Diodor. Sic. IV, 47.—§ 2. Apollod. I, 9. 16.—§ 3. *Ib.* 21.—§ 4. *Ib.* 22.—§ 5. 6. *Ib.* 23.—§ 7. *Ib.*—§ 8. *Ib.* 27.

Miscellaneous Fables.

112. § 1. Apollod. I, 3. 2.—§ 2. Diodor. Sic. V, 23—§ 3. Apollod. I, 7. 1.—§ 4. *Ib.* 2.—§ 5. *Ib.* 9, 7.—§ 6. *Id.* II, 1. 4.—§ 7. *Id.* III, 15. 8.—§ 8. Diodor. Sic. IV, 64.—§ 9. Apollod. III, 10. 8.—§ 10. *Ib.* 13. 6.—§ 11. Isocr. Laud. Evag. c. 5. 7.—§ 12. Isocr. Encom. Helen. c. 13.

MYTHOLOGICAL DIALOGUES.

119. The dialogues, which follow from page 119 to 136, may be easily found without more particular reference in the works of Lucian.

GEOGRAPHY.

Europe.

137. § 1, 2. Strabo, II, pp. 126, 127.—§ 3. *Id.* III, p. 137.—§ 4. Epitom. Strab. III, pp. 25, 27.—§ 5. Strabo, III, p. 146.—§ 6, 7. Diodor. Sic. V, 43, 35.—§ 8. *Ib.* 17, 18.—§ 9. *Ib.* 25.—§ 10. Epitom. Strab. III, p. 33.—§ 11. Diodor. Sic. V, 27, and Strabo, IV, p. 190.—§ 12. Diodor. Sic. *Ib.*—§ 13. Epitom. Strab. III, p. 35.—§ 14. Diodor. Sic. V, 28.—§ 15. *Ib.* 29.—§ 16. *Ib.* 21.—§ 17. *Ib.* 22.—§ 18. Epitom. Strab. III, p. 38. Strabo, IV, p. 200.—§ 19. Epitom. Strab. VII, p. 31. Strabo, VII, p. 290.—§ 20. *Ib.* p. 294.—§ 21. *Id.* V, pp. 209, 212, 215.—§ 22. Diod. Sic. V, 39.—§ 23. Strabo, V, p. 218.—§ 24. Diodor. Sic. V, 40.—§ 25. Strabo, V, p. 219.—26. *Ib.* p. 231.—§ 27. *Ib.* p. 243.—§ 28. *Ib.* p. 247.—§ 29. *Id.* VI, p. 262.—§ 30. *Ib.* p. 263.—§ 31-33. Athenæus, XII, 518.—§ 34, 35. Diodor. Sic. V, 2, 4.—§ 36. Strabo, VI, p. 273.—§ 37. Diodor. Sic. V, 13, 14.—§ 38. Strabo, VIII, p. 335.—§ 39. Pausanias, V, 10. Strabo, VIII, p. 353.—§ 40. Pausanias, V, 11.—§ 41. Strabo, VIII, pp. 366, 367.—§ 42. Stobæus, XLII, p. 293.—§ 43. Strabo, IX, pp. 417, 419.—§ 44. Xenophon de Vectigal. Init.—§ 45, 46. Strabo, IX, p. 395.—§ 47. *Id.* X, p. 476.

Asia.

157. § 1. Strabo, p. XI, 490. Arrian, Exp. Alex. V, 5.—§ 2. Strabo, XI, pp. 497, 499.—§ 3. *Id.* IX, p. 499.—§ 4. *Ib.* p. 501. § 5. Diodor. Sic. II, 48.—§ 6. *Ib.* 49.—§ 7. *Ib.* 50.—§ 8.

Ib. 54.—§ 9. Arrian. Exp. Alex. VII, 7.—§ 10. Diodor. Sic. II, 37.—§ 11. Strabo, XV, p. 690.—§ 12. *Ib.* p. 693. Compare Epitom. Strab. p. 194.—§ 13. Strabo, XV, pp. 726, 727.—§ 14. Diodor. Sic. XVII, 70, 71.—§ 15. Epitom. Strab. p. 202.—§ 16, 17.—Xenophon. Cyrop. I, 2, 6.

Africa.

P. 166. § 1. Strabo, XVII, p. 788.—§ 2. Diodor. Sic. I, 32.—§ 3. Strabo, XVII, p. 788.—§ 4. Diodor. Sic. I, 10.—§ 5. Strabo, XVII, p. 808. and Epitom. Strab. p. 220.—§ 6. Strabo, XVII, p, 816.—§ 7. Diodor. Sic. III, 12, 13.—§ 8. *Id.* XVII, 52.—§ 9, 10. Strabo, XVII, p. 821.—§ 11. Diodor. Sic. III, 49.—§ 12. *Ib.* 50.—§ 13, 14. Strabo, XVII, p. 832.

HISTORY AND BIOGRAPHY.

Solon.

177. Plutarch. Vita Solon. c. 8.

Aristides.

179. Plutarch. Vita Aristid. c. 1, 3, 4, 6, 7, 24, 25.

Themistocles.

184. Plutarch. Vita Themist. c. 3, 4.

Incidents in the second Persian War.

186. Plutarch. Vita Themist. c. 7, 8, 10, 11, 12, 13, 14, 17.

Cimon.

194. Plutarch. Vita Cimonis, c. 5, 6, 7, 12, 13.

Alcibiades.

199. Plutarch. Vita Alcibiad. c. 2, 7, 10, 11, 13.

Death of Alcibiades.

203. Plutarch. Vita Alcibiad. c. 38, 39.

Pericles.

206. Plutarch. Vita Pericl. c. 33, 34.

Death of Pericles.

208. Plutarch. Vita Pericl. c. 38, 39.

End of the Peloponnesian War.

209. Plutarch. Vita Lysandri. c. 13, 14, 15.

Phocion.

212. Plutarch Vita Phoc. c. 4, 5, 11, 16, 17, 18.

Phocion's Condemnation and Death.

216. Plutarch. Vita Phoc. c. 34—38.

Demosthenes.

220. Plutarch. Vita Demosthen. c. 7, 12, 16, 17, 18, 20, 21, 28, 29.

POETICAL EXTRACTS.

References to the books of Homer, from which the Poetical Extracts are taken, are given in the margin of the extracts.

LEXICON

OF THE WORDS WHICH OCCUR IN

THIS WORK.

LEXICON.

Gr. denotes the translation of Buttmann's Grammar, which is referred to under most of the anomalous verbs.

A.

ᾶ, ah!

ἄβατος, ὁ, ἡ (βαίνω) inaccessible.

ἀβέβαιος, ὁ, ἡ, insecure, unfaithful.

ἀβοήθητος, ὁ, ἡ, (βοηθέω) helpless, remediless.

ἁβρὸς, ὰ, ὸν, tender, delicate, effeminate.

ἄβροχος, ὁ, ἡ, (βρέχω) unbedewed, wanting in water, arid.

ἄβυσσος, ὁ, ἡ, bottomless, profound.

Ἀγαθοκλῆς, έους, ὁ, Agathocles.

ἀγαθὸς, ἡ, ὸν, brave, good; τὸ ἀγαθὸν, the good, *in the abstract; compar.* *βελτίων, ἀμείνων, κρείττων, and κρείσσων, λωΐων· superlat. βέλτιστος, ἄριστος, κράτιστος, λῷστος.*

Ἀγάθων, ωνος, ὁ, Agathon.

ἀγακλυτὸς, οῦ, ὁ, ἡ, highly renowned.

ἄγαλμα,, ατος, τὸ, an image, a statue.

ἄγαμαι, *f.* ἀγάσομαι, (*Gr.*) *with a gentive*, to honor, to admire. *a.* 1. *m.* ἠγασάμην, *a.* 1. *p.* ἠγάσθην.

Ἀγαμέμνων, ονος, ὁ, Agamemnon.

ἀγανακτέω, ῶ, *f.* ήσω, *p.* ἠγανάκτηκα, to be angry, to be displeased, to be grieved.

ἀγάομαι, *f. m.* ήσομαι, to be astonished at.

ἀγαπάω, ῶ, *f.* ήσω. *p.* κα. to love, to be satisfied.

ἀγαπητὸς, ἡ, ὸν, beloved.

Ἀγαύη, ης, ἡ, Agave.

ἀγγεῖον, ου, τὸ, a vessel.

ἀγγελία, ας, ἡ, a message, tidings.

ἀγγελιαφόρος, ου, ὁ, (φορέω) a messenger.

ἄγγελος, ου, ὁ, a messenger.

ἄγγος, εος, τὸ, a vessel, a bag,

ἀγείρω, *f.* ερῶ, *p.* (*Att. red.*) ἀγήγερκα, to gather, to acquire. *a.* 1. *inf.* ἀγεῖραι.

ἀγέλη, ης, ἡ, a herd.

ἀγεννὴς, έος, ὁ, ἡ, mean, base.

ἀγέννητος, ὁ, ἡ, (γεννάω) unborn, unbegotten.

ἀγεννῶς, timidly, meanly, without spirit.

ἀγενορίη, ης, ἡ, valour, courage.

Ἀγήνωρ, ορος, ὁ, Agenor.

ἀγήρως, ὁ, ἡ, (γῆρας) not growing old, not subject to old age.

Ἀγησίλαος, ου, ὁ, Agesilaus.

Ἀγησίπολις, ιος, ὁ, Agesipolis.

ἅγιος, ία, ιον, sacred, holy.

Ἆγις, ιδος, ὁ, Agis.

ἁγιστεύω, -ομαι, to be sacred *or* holy.

ἀγκαλὶς, ίδος, ἡ, the arm.

ἀγκιστρώδης, εος, ὁ, ἡ, (ἄγκιστρον) hooked, barbed, bent.

ἄγκυρα, ας, ἡ, an anchor.

ἀγλαὸς, ὰ, ὸν, splendid.
ἀγνοέω, ῶ, *f.* ήσω, *p.* ηκα. (νοέω) not know, not understand, to be ignorant of, not comprehend.
ἄγνοια, ας, ἡ, ignorance.
Ἀγνωνίδης, ου, ὁ, Agnonides.
ἀγνὼς, ῶτος, ὁ, ἡ, (γιγνώσκω) unknown.
ἄγνωστος, ὁ, ἡ, unknown, not renowned.
ἀγορὰ, ᾶς, ἡ, a market-place, the forum, an assembly; an harangue.
ἀγοράζω, *f.* σω, *p*, κα, to buy. *p. pass.* ἠγόρασμαι.
ἀγορεύω, *and* ἀγορεύομαι, to speak *in the assembly.*
ἄγρα, ας, ἡ, the act of catching, the capture.
ἀγράμματος, ὁ, ἡ, illiterate.
ἀγρεύω, *f.* εύσω. to catch, to capture, to take.
ἄγριος, ία, ιον, wild, savage.
ἀγριότης, τητος, ἡ, wildness, savageness.
ἀγροικία, ας, ἡ, country life, rusticity, rudeness.
ἀγροῖκος, ὁ, ἡ, rustic, boorish.
ἀγρὸς, οῦ, ὁ, a field, land.
ἀγρότειρος, α, ον, rustic.
ἀγρυπνέω, ῶ, *f.* ήσω, *p.* ηκα. to watch, to be awake.
ἀγυιὰ, ᾶς, ἡ, a street.
ἀγύρτης, ου, ὁ, a mountebank, a quack, a beggar.
ἄγχι, near.
ἀγχίνοια, ας, ἡ, slyness, cunning.
ἀγχόνη, ης, ἡ, (ἄγχω) a rope for hanging, the act of hanging.
ἄγχω, *f.* ξω, *p.* χα, to strangle, to choak by hanging.
ἄγω, *f.* ἄξω, *p.* (*Att. red.*) ἄγηχα, (*Gr.*) to lead, to drive; σχολὴν ἄγειν, to be atl eisure, ἄγε, well, come, come on, *a term of exhortation.* *a.* 2. (*Att.*) ἤγαγον, *p. pass.* ἦγμαι, *a.* 1. ἤχθηο, *f.* 1. ἀχθήσομαι.
ἀγωγὴ, ῆς, ἡ, the mode of life.
ἀγὼν, ῶνος, ὁ, a combat, a game, a struggle, a contest.
ἀγωνιάω, ῶ, *f.* άσω, *p.* ακα, to be solicitous, to fear.
ἀγωνίζομαι, to contend, to fight for the prize. *p. pass.* ἠγώνισμαι, *f.* ἀγωνίσομαι.
ἀγώνισμα, ατος, τὸ, a contest, a battle.
ἀγωνιστὴς, οῦ, ὁ, a combatant *at the Games.*
ἀδαμάντινος, η, ον, very hard, invincible, adamantine.
ἀδάμαστος, ὁ, ἡ, (δαμάζω) untamed, unbroken, *applied to horses.*
ἀδδηφάγος, ὁ, ἡ, (ἄδδην φάγω) voracious, greedy.
ἀδεὴς, έος, ὁ, ἡ, (δέος) fearless.
ἀδεῶς, fearlessly.
ἀδελφὴ, ῆς, ἡ, a sister.
ἀδελφιδοῦς, οῦ, ὁ, a brother's son.
ἀδελφὸς, οῦ, ὁ, a brother.
ἄδηλος, ὁ, ἡ, unknown, uncertain.
ᾅδης, ου, ὁ, the god of the lower regions, the infernal world itself; εἰς ᾅδου (δῶμα *understood*), into hades *or* the lower world.
ἀδιαλείπτως, (λείπω) incessantly.
ἀδιατύπωτος, ὁ, ἡ, (τυπόω) unformed.
ἀδικέω, ῶ, *f.* ήσω, *p.* ηκα, (δίκη) to act unjustly, to wrong, to injure, to hurt. *a.* 1. *p.* ἠδικήθην.
ἀδίκημα, ατος, τὸ, injustice, a crime.
ἀδικία, ας, ἡ, injustice.
ἄδικος, ὁ, ἡ, unjust.
ἀδίκως, unjustly.
ἀδινὸς, ὴ, ὸν, frequent, intense.
Ἄδμητος, ου, ὁ, Admetus.
ἀδόλεσχος, ὁ, ἡ, loquacious, a loquacious person, a prater.
ἀδοξία, ας, ἡ, disgrace.
ἀδούλωτος, ὁ, ἡ, (δοῦλος) unsubdued, free.
ἀδύνατος, ὁ, ἡ, impossible, unable.
ᾄδω, *and* ἀείδω, *f.* σω, *p.* ηκα, ῃεικα, to sing. *p. pass.* ᾖσμαι, *a.* 2. ᾖδον.
Ἄδωνις, ιδος, ὁ, Adonis.
ἀεὶ, always, ever.
ἀεικὴς, έος, ὁ, ἡ, unbecoming, unworthy, foul.
ἀεικίζω, *f.* σω, to deform to maltreat.
ἀείρω, *f.* ἀερῶ, *p.* ἤερκα, to raise, to lift, to take. *a.* 1. ἤειρα, *a.* 2, ἤερον.
ἀεκάζομαι, to be reluctant.
ἀέναος, ὁ, ἡ, (νάω) ever-flowing.
ἀεροειδὴς, έος, ὁ, ἡ, (ἀὴρ) airy, like air.
ἀετὸς, οῦ, ὁ, an eagle.

ἀηδία, ας, ἡ, unpleasantness, disgust; displeasure, discord.
ἀηδὼν, όνος, ἡ, nightingale.
ἀὴρ, έρος, ὁ, the air.
ἀήττητος, ὁ, ἡ, (ἡττάω) unsubdued.
Ἀθάμας, αντος, ὁ, Athamas.
ἀθανασία, ας, ἡ, immortality.
ἀθάνατος, ὁ, ἡ, immortal.
ἄθαπτος, ου, ὁ, ἡ, unburied.
ἀθέατος, ὁ, ἡ, (θεάομαι) not permitted to be seen.
Ἀθηνᾶ, ᾶς, ἡ, Minerva.
Ἀθήναζε, to Athens.
Ἀθῆναι, ῶν, αἱ, *the city of* Athens.
Ἀθηναίη, ης, ἡ, Minerva.
Ἀθηναῖος, αία, αῖον, Athenian.
Ἀθήνηθεν, from Athens.
ἄθλησις, εως, ἡ, athletic exercise, athletics.
ἀθλητὴς, οῦ, ὁ, a wrestler, a combatant in the games.
ἄθλιος, ία, ιον, unhappy, miserable.
ἀθλίως, miserably.
ἆθλον, ου, τὸ, the prize of the games, a reward.
ἆθλος, ου, ὁ, a combat, a contest.
ἀθόρυβος, ὁ, ἡ, (θόρυβος) tranquil, without tumult, undisturbed.
ἀθορύβως, calmly.
ἀθραυστος, ὁ, ἡ, (θραύω) uninjured.
ἀθροίζω, *f.* σω, *p.* ἤθροικα, to gather, to assemble.
ἀθρόος, όα, όον, (οῦς, ᾶ, οῦν) frequent, numerous, crowded, dense, vehement.
ἀθυμέω, ῶ, *f.* ήσω, *p.* ηκα. (θυμὸς) to be dispirited, to be dejected, to be disheartened.
Ἄθως, ω, ὁ, Mount Athos.
αἶα, ας, ἡ, the earth.
Αἰακίδης, ου, ὁ, the son of Æacus.
Αἰακὸς, οῦ, ὁ, Æacus.
Αἴας, αντος, ὁ, Ajax.
αἴγειρος, ου, ἡ, a poplar.
Αἰγεὺς, έως, ὁ, Ægeus.
αἰγιαλὸς, οῦ, ὁ, a shore.
αἰγίδιον, ου, τὸ, (αἴξ) a little goat.
Αἴγινα, ης, ἡ, the island Ægina.
Αἰγινήτης, ου, ὁ, an inhabitant of Aegina.
αἰγίοχος, ου, ὁ, ἡ, Aegis-bearing.
αἰγὶς, ίδος, ἡ, the Aegis, *part of the armor of Jupiter and Minerva, originally a goat-skin, sometimes wound about the arm as a* shield (*whence the shield of Minerva is called* Aegis), *and sometimes drawn over the breast, as a* breast-plate.
αἰγοτριχέω, ῶ, *f.* ήσω, (θρὶξ) to have goat's hair.
Αἰγύπτιος, ου, ὁ, an Egyptian, Aegyptian.
Αἴγυπτος, ου, ἡ, 1. the land of Egypt. 2. the river Nile. 3. Aegyptus.
αἰδέομαι, -οῦμαι, *f. m.* έσομαι, to regard, to respect, to reverence, to fear, to be afraid, to be ashamed. *p. pass.* ᾔδεσμαι.
αἰδήμων, ονος, ὁ, ἡ, decorous well mannered.
ἀΐδης, ου, ὁ. *See* ᾅδης.
ἀΐδιος, ία, ιον, everlasting, perennial.
αἰδοῖος, οία, οῖον, venerable.
αἰδὼς, οῦς, ἡ, decorous behaviour, modesty; veneration, respect, fear.
αἰεὶ, *for* ἀεὶ, always.
Αἰήτης, ου, ὁ, Aeetes.
αἰθαλώδης, εος, ὁ, ἡ, sooty, black.
Αἰθιοπία, ας, ἡ, Aethiopia.
Αἰθίοψ, οπος, ὁ, ἡ, an Aethopian, Aethiopian.
αἴθουσα, ης, ἡ, the front hall.
Αἰθιοπικὸς, ἡ, ὸν, Aethiopian.
αἴθοψ, οπος, ὁ, ἡ, richly colored.
αἰθρία, ας, ἡ, the serene sky, the pure air.
αἴθω, *f.* σω, *p.* κα, to set fire to, to kindle; -ομαι, to be on fire.
αἴλουρος, ου, ὁ, a cat.
αἷμα, ατος, τὸ, blood.
αἱμάσσω, *f.* ξω, *p.* χα, to stain with blood.
Αἰμιλιανὸς, οῦ, ὁ, Aemilianus, *surname of Scipio.*
Αἰνείας, ου, ὁ, Aeneas.
αἰνέω, ῶ, *f.* έσω, *p.* ᾔνηκα, to praise, to approve, to assent. *p. pass.* ᾔνημαι, *a.* 1. ᾐνέθην.
αἴνιγμα, ατος, τὸ, an enigma, a riddle.
αἰνόμορος, ὁ, ἡ, ill-fated.
αἰνὸς, ἡ, ὸν, woful.
αἰνῶς, extremely.

αἴξ, γὸς, ἡ, a goat.
αἰόλος, η, ον, active, lively.
αἰπόλος, ου, ὁ, a goatherd.
αἵρεσις, εως, ἡ, a mode of life, a sect (*of philosophy*).
αἱρετὸς, ἡ, ὸν, eligible, good.
αἱρέω, ῶ, *f.* αἱρήσω, *p.* ᾕρηκα, (*Gr.*) to seize, to take, to receive; αἱρέομαι, -οῦμαι, to will, to choose, to undertake; μᾶλλον αἱρέομαι, to prefer. *a.* 2. εἷλον, *inf.* ἑλεῖν, *mid.* εἱλόμην, *subj.* ἕλωμαι.
αἴρω, *f.* ἀρῶ, *p.* ἦρκα, (*see* ἀείρω) to assume, to raise on high, to lift, to weigh anchor; κῦδος αἴρεσθαι, to acquire glory. *a.* 1. ἦρα, *inf.* ἆραι, *imperat.* ἆρον, *part.* ἄρας.
Ἄϊς, ιδος, ὁ, the realm of Hades.
αἶσα, ης, ἡ, destiny.
αἰσθάνομαι, *f.* αἰσθήσομαι, *p.* ᾔσθημαι, (*Gr.*) to observe, to feel, to perceive. *a.* 2. *m.* ᾐσθόμην.
αἴσθησις, εως, ἡ, sense, perception.
Αἰσχίνης, ου, ὁ, Aeschines.
αἶσχος, εος, τὸ, baseness, deformity.
αἰσχρὸς, ὰ, ὸν, base, shameful, ugly, disgraceful.
αἰσχρῶς, basely, shamefully.
Αἰσχύλος, ου, Aeschylus.
αἰσχύνη, ης, ἡ, shame.
αἰσχύνομαι, *f.* αἰσχυνθήσομαι, *p.* ᾔσχυμμαι, to be ashamed of, to reverence, to respect, to feel the reproach of. *a.* 1. ᾐσχύνθην.
Αἴσων, ονος, ὁ, Aeson.
αἰτέω, ῶ, *f.* ήσω, *p.* ᾔτηκα, to request, to beg, to demand. αἰτέομαι -οῦμαι, *f.* ήσομαι.
αἰτία, ας, ἡ, a cause, a reason, a fault.
αἰτιάομαι, -ῶμαι, *f.* άσομαι, *p.* ᾐτίαμαι, to complain of, to exculpate, to blame, to accuse.
αἰτιατέος, έα, έον, to be blamed *or* inculpated; μοὶ αἰτιατέον, I should *or* ought to blame.
αἴτιος, ία, ιον, culpable, guilty; ὁ αἴτιος, the author, cause, *or* procurer of a thing; promotive of.
Αἴτνη, ης, ἡ, Mount Aetna.
Αἰτωλία, ας, ἡ, the province Aetolia, and
Αἰτωλὶς, ίδος, ἡ, a female of this province, Aetolian.
αἰφνιδίως, suddenly.
αἰχμαλωτίζω, *and* αἰχμαλωτεύω, *f.* ίσω, *p.* ικα, *and* εύσω, ευκα, to make prisoners of war.
αἰχμάλωτος ὁ, ἡ, captive.
αἶψα, immediately.
αἰὼν, ῶνος, ὁ, time, an age, antiquity.
αἰώνιος, ία, ιον, durable, eternal.
αἰωρέω, ῶ, *f.* ήσω, *p.* ᾐώρηκα, to raise on high; -ρέομαι, -ροῦμαι, to be in expectation, in anxious movement.
ἄκαιρος, ὁ, ἡ, (καιρὸς) immature, out of season.
ἄκαμπτος, ὁ, ἡ, unmoved.
ἄκανθα, ης, ἡ, a thorn, a prickle.
Ἀκαρνὰν, ᾶνος, an Acarnanian, an inhabitant of the province Arcania in Greece.
ἀκαρπία, ας, ἡ, unfruitfulness, failure of the fruits.
ἄκαρπος, ὁ, ἡ, (καρπὸς) unfruitful.
Ἄκαστος, ου, ὁ, Acastus.
ἀκάχω, ἀκαχέω, *and* ἀκαχίζω, *f.* ίσω, *p.* κα, to grieve, to afflict.
ἀκέραιος, ὁ, ἡ, unhurt.
Ἀκεσίνης, *and* Ἀκεσῖνος, ου, ὁ, the name of a river in Asia, Acesinus.
Ἀκεστόδωρος, ου, ὁ, Acestodorus.
ἀκὴ, ῆς, ἡ, repose; ἀκὴν γίνεσθαι, to be quiet. *See note to Poetical extract II, line* 28.
ἀκηδέστως, heedlessly.
ἀκηδὴς, έος, ὁ, ἡ, without care.
ἀκίνδυνος, ὁ, ἡ, safe, without danger.
ἀκινδύνως, safely.
ἄκλαυτος, ὁ, ἡ, unlamented.
ἀκληρέω, ῶ, *f.* ήσω, *p.* κα, (κλῆρος) to be poor, unfortunate.
ἄκλητος, ὁ, ἡ, (καλέω) uninvited.
ἀκμάζω, *f.* άσω, *p.* ἤκμακα, (ἀκμὴ) to bloom, to be matured, to be at its full force *or* height, to have reputation, influence, &c.
ἀκμὴ, ῆς, ἡ, vigor.
ἀκμαῖος, αία, αῖον, ripe, blooming.
ἀκμὴς, ῆτος, ὁ, ἡ, (κάμνω) fresh, not fatigued.
ἀκοὴ, ῆς, ὁ, ἡ, the hearing.
ἄκοιτις, ἡ, a spouse.

ἀκολουθέω, ῶ, *f.* ήσω, *p.* ἠκολούθηκα, to follow.
ἀκοντίζω, *f.* ίσω, *p.* ἠκόντικα, to shoot, to hurl as a javelin.
ἀκόντιον, ου, τὸ, a javelin.
ἀκούσιος, ὁ, ἡ, unwilling, compulsory, involuntary.
ἀκούω, *f.* 1. *m.* ἀκούσομαι, *p. m.* ἀκήκοα, *p. act.* ἤκουκα, *with the genitive*, to hear; κακῶς ἀκούειν, to be rebuked, to stand in ill repute.
ἄκρα, ας, ἡ, a promontory, a summit, a citadel, a cape.
Ἀκραγαντῖνος, ου, ὁ, an inhabitant of Agrigentum, *in Sicily.*
ἀκρασία, ας, ἡ, intemperance.
ἄκρατος, ὁ, ἡ, (κεράννυμι) unmingled. pure (*wine*).
ἀκρίβεια, ας, ἡ, exactness, purity.
ἀκριβὴς, έος, ὁ, ἡ, exact, precise, perfect.
ἀκριβόω, ῶ, *f.* ώσω, *p.* ἠκρίβωκα, to know exactly, to investigate.
ἀκριβῶς, exactly, precisely, perfectly.
Ἀκρίσιος, ου, ὁ, Acrisius.
ἀκρόασις, εως, ἡ, the hearing, a lecture.
ἀκροβατέω, ῶ, *f.* ήσω, *p.* ηκα, to walk on the toes.
ἀκρόδρυον, ου, τὸ, fruit trees; ἀκρόδρυα, fruits (*with a hard shell*).
ἀκροθίνιον, τὸ, *and* τὰ ἀκροθίνια, the firstlings, the offering to the gods from the booty *or* the harvest.
ἀκροποδητὶ, (ποῦς) tiptoe.
ἀκρόπολις, εως, ἡ, a citadel.
ἄκρος, α, ον, extreme, highest; ἄκροι δάκτυλοι, the fingers' ends; ἄκροις τοῖς ποσὶ, with the toes; τὰ ἄκρα, the highest, high parts; *also* the extremity, the end.
ἀκρωτηριάζω, *f.* άσω, *p.* κα, to mutilate at the extremities; *hence, generally* to mutilate, to destroy.
ἀκρωτήριον, ου, τὸ, a promontory.
Ἀκταίων, ωνος, ὁ, Actæon.
ἀκτὴ, ῆς, ἡ, 1. a bank. 2. Attica.
ἀκυβέρνητος, ὁ, ἡ, (κυβερνάω) without a pilot, unguided.
ἀκύμαντος, ὁ, ἡ, (κῦμα) waveless, calm.
ἀκύμων, ονος, ὁ, ἡ, calm, tranquil.
ἄκων, ἄκουσα, ἄκον, unwilling, reluctant.
ἀλαζονικὸς, ἡ, ὸν, boastful, vain.
ἀλαζὼν, όνος, ὁ, a vainglorious boaster.
Ἀλβανία, ας, ἡ, a country in Asia; &
Ἀλβανοὶ, ῶν, οἱ, Albanians, inhabitants thereof.
ἀλγέω, ῶ, *f.* ήσω, *p.* ἤλγηκα, to smart, to suffer, to be sad.
ἄλγος, εος, τὸ, pain, smart; suffering; a calamity.
ἀλεγεινὸς, ἡ, ὸν, mournful, fatal, inauspicious.
ἀλείφω, *f.* ψω, *p.* (*Att. red.*) ἀλήλιφα, to anoint. *p. pass.* ἀλήλιμμαι. *a.* 2. *ind.* ἤλιφον, *p. m.* ἤλοιφα: *Att.* ἀλήλοιφα.
ἀλεκτρυὼν, όνος, ὁ, a cock.
Ἀλεξάνδρεια, ας, ἡ, *a city in Egypt*, Alexandria.
Ἀλεξανδρεὺς, έως, ὁ, an Alexandrian.
Ἀλέξανδρος, ου, ὁ, Alexander.
ἀλήθεια, ας, ἡ, truth.
ἀληθεύω, *f.* εύσω, *p.* ἠλήθευκα, to speak the truth, to be sincere.
ἀληθὴς, έος, ὁ, ἡ, true, real; τἀληθὲς *and* τἀληθῆ, the truth.
ἀληλιμμένος, *perf. part. pas. for* ἠλειμμένος, *from* ἀλείφω.
ἀλήθω, *and* ἀλέω, *f.* ἀλέσω (ἀλῶ), *p.* ἤληκα, to grind in a mill. *p. p.* ἀλήλεσμαι.
ἀληθῶς, truly, honestly, exactly.
ἀλίαστος, ὁ, ἡ, inevitable; ἀλίαστον, incessantly.
ἀλίγκιος, η, ον, like.
ἀλινδέομαι, -οῦμαι, to turn one's self, to wander about.
ἅλιος, ία, ιον, (ἅλς) dwelling in the sea.
ἅλις, numerous.
ἁλίσκομαι, *f.* ἁλώσομαι, *p.* ἥλωκα, (*Gr.*) to be taken captive. *Att.* ἑάλωκα, *a.* 2. ἑάλων, I was taken; 2. a. *part.* ἁλοὺς, captured; *also* decided against, pronounced vanquished.
ἀλιτενὴς, έος, ὁ, ἡ, low.
ἀλιτήριος, ὁ, ἡ, laden with guilt, infamous.

ἀλίτομαι, to sin against, to transgress.
ἀλκή, ῆς, ἡ, strength.
Ἄλκηστις, ιδος, ἡ, Alcestis.
Ἀλκιβιάδης, ου, ὁ, Alcibiades.
ἄλκιμος, ὁ, ἡ, 1. strong, brave; 2. Alcimus.
Ἀλκμήνη, ης, ἡ, Alcmene.
ἀλλὰ, but; ἀλλὰ μὴν, and yet.
ἀλλάγε, yet at least.
ἀλλάσσω, -ττω, *f.* ξω, *p.* ἤλλαχα, to alter, to change. *a.* 2. ἤλλαγον, *pass.* ἠλλάγην.
ἀλλαχόθεν, from another side, elsewhere; ἄλλοι ἀλλαχόθεν, different persons from different sides.
ἄλλῃ, elsewhere; ἄλλος ἄλλῃ, one here, and another there.
ἀλλήλων, one of the other, of each other; πρὸς ἀλλήλους, against each other; *the nominative is not used.*
ἀλλοεθνὴς, έος, ὁ, ἡ, from another race; οἱ ἀλλοεθνεῖς, the strangers.
ἄλλοθι, elsewhere.
ἀλλόκοτος, ὁ, ἡ, strange.
ἅλλομαι, *f.* 2. *m.* ἁλοῦμαι, to spring, to leap. *a.* 1. *m.* ἡλάμην.
ἄλλος, η, ο, another.
ἄλλοτε, sometimes, at another time.
ἀλλότριος, ία, ιον, *with a genitive*, foreign from, unsuitable.
ἀλλόφυλος, ὁ, ἡ, (φυλὴ) of another tribe, strange, foreign, a foreigner.
ἄλλως, besides, otherwise, *adv.*
ἀλογίη, *for* ἀλογία, ας, ἡ, folly, want of sense.
ἀλόγιστος, ὁ, ἡ, inconsiderate, senseless.
ἄλογος, ὁ, ἡ, irrational, senseless, absurd.
ἄλοξ, οκος, ἡ, a furrow, a furrowed field.
ἁλουργὴς, έος, ὁ, ἡ, purple.
ἄλοχος, ου, ἡ, a spouse.
Ἄλπεις, εων, αἱ, the Alps.
Ἄλπειος, α, ον, Alpine; τὰ Ἄλπεια ὄρη, the Alpine chain of mountains.
ἅλς, ἁλὸς, ἡ, salt.
ἄλσος, εος, τὸ, a grove.
ἀλυσιτελὴς, έος, ὁ, ἡ, unprofitable, disadvantageous, prejudicial.
ἀλυσκάζω, ἀλύσκω, (*f.* ξω) *and* ἀλύω, *f.* σω, to avoid, to wander about.
Ἀλωεὺς, έως, ὁ, Aloeus.
ἀλώπηξ, εκος, ἡ, a fox.
Ἀλωπεκῆ, Alopeke, *a district in Athens.*
ἅλως, ω, ἡ, a threshing-floor.
ἁλώσιμος, ὁ, ἡ, (ἁλίσκομαι) easy to capture.
ἅλωσις, εως, ἡ, the taking, a conquest.
ἅμα, together with, with; ἅμα μὲν... ἅμα δὲ, as well...as.
Ἀμαζονὶς, ιδος, ἡ, an Amazon.
ἀμαθὴς, έος, ὁ, ἡ, (μανθάνω) ignorant, unlearned.
ἅμαξα, ης, ἡ, 1. wagon. 2. the Car, or Bear, *a heavenly constellation.*
ἁμαξικὸς, ἡ, ὸν, belonging to a wagon; τὰ ἁμαξικὰ, the northern countries.
ἁμαξόβιος, ὁ, ἡ, living in wagons; ἁμαξόβια ἔθνη, wandering, migratory nations.
ἁμαρτάνω, *f. m.* ἁμαρτήσομαι, *p.* ηκα, (*Gr.*) to fail, to err, to miss, to offend, to transgress. *a.* 2. ἥμαρτον.
ἁμάρτημα, ατος, τὸ, a failure, a fault, an offence.
ἁμαρτία, ας, ἡ, error.
ἀμαυρόω, ῶ, to obscure, to darken, to weaken, to enervate.
ἄμβατος, ου, ὁ, ἡ, accessible.
ἀμβλήδην, deeply respiring.
ἀμβλύνω, *f.* υνῶ, to blunt, to obtund, to deafen, to deaden.
ἀμβλὺς, εῖα, ὑ, blunt, dull, weak.
ἀμβλυώττω, *f.* ώξω, to have a dull countenance, to be blind.
ἀμβροσία, ας, ἡ, ambrosia, the food of the gods.
ἀμβρόσιος, ία, ιον, ambrosial, divine.
ἀμείβομαι, *f. m.* ἀμείψομαι, *p. m.* ἤμοιβα, to reply, to recompense, to return. *a.* 2. *act.* ἤμιβον.
Ἀμεινίας, ου, ὁ, Aminias.
ἀμείνων, ονος, ὁ, ἡ, better. *See* ἀγαθός.
ἀμελέω, ῶ, *f.* ήσω, *p.* ηκα, to be indifferent, to neglect.
ἀμελῶς, carelessly.
ἄμεμπτος, ὁ, ἡ, (μέμφομαι) blameless.
ἄμετρος, ὁ, ἡ, (μέτρον) without measure, not in metre, prosaic.

ἀμετρῶς, without bounds, immoderate.
ἀμηχανέω, ῶ, (μηχανή) not to know what to do, to be at a loss.
ἀμήχανος, ὁ, ἡ, wonderful; ἀμήχανον ὅσον, mirum quantum.
ἅμιλλα, ης, ἡ, a contest for a prize, struggle; ἐξ ἁμίλλης, for a wager.
ἁμιλλάομαι, -ῶμαι, *f.* ήσομαι, to emulate, to strive with.
ἀμίμητος, ὁ, ἡ, (μιμέομαι) not imitated, inimitable.
ἀμισθί, for nothing, without reward.
ἄμισθος, ὁ, ἡ, (μισθὸς) unrewarded.
Ἀμισώδαρας, ου, ὁ, Amisodaras.
ἅμμα, ατος, τὸ, a band; τὰ ἅμματα, the hug of wrestlers.
ἄμμορος, ου, ὁ, ἡ, unhappy.
ἄμμος, ου, ἡ, sand.
ἀμμώδης, εος, ὁ, ἡ, sandy.
ἀμνος, ου, ὁ, a lamb.
ἀμοιβή, ῆς, ἡ, a recompense, an exchange.
ἀμὸς, *for* ἐμὸς, my.
ἄμπελος, ου, ἡ, the vine.
ἀμπέχομαι, *f. m.* ἀμφέξομαι, to surround, to put on (*as clothes*), to be clad. 2. *a.* ἠμπισχόμην.
ἄμπυξ, υκος, ὁ, a clasp.
ἀμυδρὸς, ρὰ, ρὸν, faint, glimmering.
ἀμύθητος, ὁ, ἡ, (μῦθος) unutterable.
ἀμύμων, ονος, ὁ, ἡ, blameless.
ἄμυνα, ης, ἡ, a defence.
ἀμύνω, *f.* νῶ, to defend, ward off; ἀμύνομαι, *f. m.* ἀμυνοῦμαι, to defend one's self, to revenge, to resist, to contend; τινὰ, to punish.
ἀμύττω, *and* ἀμύσσω, *f.* ξω, *p.* ἤμυχα, to scratch, to tear.
ἀμφὶ, *with the dative*, about; *with the genitive*, on account of.
Ἀμφιάραος, ου, ὁ, Amphiaraus.
ἀμφίβολος, ὁ, ἡ, doubtful, questionable, fluctuating.
Ἀμφίδαμας, αντος, ὁ, Amphidamus.
ἀμφι-έννυμι, *f.* ἀμφιέσω, *Att.* ἀμφιῶ, to put on (*as clothes*), 1. *a.* ἠμφίεσα, *perf. pass.* (ἀμφιεῖμαι) *common*, ἠμφίεσμαι. *See Gram.* § 106. *p.* 186. *and* § 114. *p.* 212.

2

ἀμφι-έπω, *from* ἀμφὶ *and* ἕπω, (*Gr.*) to employ one's self with.
ἀμφιθαλὴς, έος, ὁ, ἡ, he whose parents both live.
ἀμφι-μάχομαι, *f.* έσομαι, *commonly* οῦμαι, to fight around.
Ἀμφίπολις, εως, ἡ, Amphipolis, *a city in Macedonia.*
ἀμφίπολος, ου, ἡ, a female servant.
ἀμφὶς, around.
ἀμφισβητέω, ῶ, *f.* ήσω, *p.* ἠμφισβήτηκα, to contend, to contest.
ἀμφίστομος, ὁ, ἡ, (στόμα) having two mouths *or* outlets.
Ἀμφιτρίτη, ης, ἡ, Amphitrite.
Ἀμφιτρύων, ωνος, ὁ, Amphitryon.
Ἀμφίων, ίονος, ὁ, Amphion.
ἀμφορεὺς, έως, ὁ, a bucket (*as a vessel and as a measure of capacity.*)
ἀμφότερος, έρα, ερον, both.
ἄμφω, οῖν, both.
ἄμωμος, ὁ, ἡ, (μῶμος) blameless.
ἂν *for* ἐὰν *or* ἢν, if.

ἂν is used to give the phrase an expression of uncertainty, which sometimes cannot be exactly rendered in English, and sometimes is to be expressed by the auxiliary verbs; ἦλθον, I come. ἦλθον ἂν, I should have came; τί λέγω, what shall I say? τί λέγοιμι ἄν; what might I say?

ἀνὰ, *with the accus.* upon, above; ἀνὰ τρεῖς, by threes, by three and three; ἀνὰ μέσον, in the midst, between.
ἀναβάθρα, ας, ἡ, a step, a ladder.
ἀνα-βαίνω, *f.* -βήσομαι, *p.* -βέβηκα, (*Gr. in* βαίνω) *acc.* to ascend, to mount. 2. *a.* ἀνέβην, *part.* ἀναβάς.
ἀνα-βάλλω, *f.* βαλῶ, 2. *a.* ἔβαλον, *p.* -βέβληκα, (*Gr. in* βάλλω) to throw up. *a.* 1. *pass.* ἐβλήθην.
ἀνά-βασις, εως, ἡ, an ascent, a swelling.
ἀνα-βατὴς, ου, ὁ, he who mounts *or* sits upon; a rider.
ἀνα-βλαστάνω, *f.* -βλαστήσω, *p.* ηκα, (*Gr. in* βλαστάνω) to grow up, to shoot, to germinate. *a.* 2. ἀνεβλάστον.

ἀνα-βλέπω, *f.* ψω, *p.* βέβλεφα, to look up at.

ἀνάβλησις, εως, ἡ, a delay.

ἀνα-βλύζω, *f.* σω, *p.* κα, to gush forth.

ἀνα-βοάω, ῶ, *f.* ήσω, *p.* κα, to shout aloud, to crow.

ἀνα-γιγνώσκω, *f.* ἀναγνώσομαι, *p.* -έγνωκα, (*Gr.*) to read, to read to. *a.* 2. ἀνέγνων.

ἀναγκάζω, *f.* σω, *p.* ἠνάγκακα, to compel, to force. *a.* 1. *pass.* ἠναγκάσθην.

ἀναγκαῖος, αία, αῖον, necessary, unavoidable; ἐπί τι τῶν ἀναγκαίων, to a necessary affair.

ἀνάγκη, ης, ἡ, necessity; κατ' ἀνάγκην, necessarily.

ἀν-αγορεύω, f. σω, to relate, to declare.

ἀνα-γράφω, f. ψω, to assign.

ἀν-άγω, f.-αξω, *p.* ἀνῆχα, to bring up, to bring back, to bring down, to force on high, to raise; ἀνάγεσθαι, to sail away. *a.* 2. *Att.* ἀνήγαγον, *a.* 1. *pass.* ἀνήχθην, *a.* 1. *part.* ἀναχθεὶς.

ἀνα-δέσμη, ης, ἡ, a head-band.

ἀνα-δέω, ῶ, f. -δησω, *p.* -δέδεκα, to bind, to wreath.

ἀνα-δίδωμι, f. -δωσω, to give, to present, to surrender, to yield *or* produce. *a.* 2. *part.* ἀναδοὺς, *a.* 1. ἀναδοθεὶς.

ἀνα-δῦμι, f. -δύσω, *p.* -δεδῦκα, to ascend (*as from out of the sea*, to appear).

ἀναείρω, f. -ρῶ, *p.* -ἤερκα, to raise up.

ἀνα-ζευγνύω, f. -ζεύξω, *p.* ἀνέζευκα, to break up, (*as from an encampment*), to march.

ἀνα-ζώννυμι, f. -ζώσω, *p.* ἀνέζωκα, to gird, to gird about.

ἀνά-θημα, ατος, τὸ, (τίθημι) a votive offering, an ornament.

ἀνα-θυμίασις, εως, ἡ, an evaporation, an evaporating.

ἄναιμος, ὁ, ἡ, (αἷμα) bloodless.

ἀναιμωτί, without blood.

ἀν-αιρέω, ῶ, f. ήσω, *p.* ἀνῄρηκα, to take away, to take upon, to take up, to raise, to slay, to destroy.

ἀναίσθητος, ὁ, ἡ, (αἰσθάνομαι) without feeling.

ἀν-αΐσσω. f. ξω, *p.* χα, to rise.

ἀνα-καίω, f. -καύσω, *p.* -κέκαυκα, (*Gr.*) to kindle, to set on fire.

ἀνακαλέω, ῶ, f. -καλέσω, *p.* -κέκληκα, to recall, to release.

ἀνα-κάμπτω, f. -ψω, *p.* -φα, to return.

ἀνα-κομιδή, ῆς, ἡ, a return.

ἀνα-κράζω, f. -ξω, 3. f. -κεκράξομαι, *p.* -κέκρᾱγα, to cry aloud, to shout, to screech.

Ἀνακρέων, οντος, ὁ, Anacreon.

ἀνα-κρίνω, f. νῶ, *p.* -κέκρικα, to investigate, to examine, to question.

ἀνα-κρούω, f. σω, *p.* κα, to beat, to strike up, to produce by beating, to force back.

